1 *επ*] *υπ* z | 2 *αυτου* > rz | 3 *εκαλεσεν* Aart [t² = b] yz | 3 ante *το* + *αγαρ* Ayz, ante *ονομα* + *αγαρ* a | 3 *το* > a [non y] | 3 post *συ* + *ει* D [GR] c | 4 *εφιδων* A | 4 *ειπεν* Art [t² = b], *ειπον* ay | 4 *ιδον* AD [GR] | 5 *ενεκα* c | 5 *εκαλεσεν* Art¹ | 5 post *φρεαρ* prius + *εκεινο* a [non y] | 5 *φρεαρ* alterum > r | 5 *ενωπιον ου* z | 5 *ιδον* AD [GR] | 6 *χαδδης* z | 6 *βαραχ* ay, *βαραχ* rz | 7 *εκαλεσε* c | 7 *αβραμ* alterum > c | 8 post *αυτου* + *του γενομενου αυτω* mt [*αυτωι* t] | 8/10 comma 16 > z | 9 *ογδοηκονταεξ ετων* At, *ογδωηκοντα* [sic] *εξ ετων* m, *πς ετων* r. *ετων* ut b ponit D | 9/10 *τον ισμαηλ τω αβραμ* AD [GR: superest. *τον* proxime post *αγαρ*] cmr [nisi quod r *τωι* habet loco *τον* ceterorum: manus recens, quae non Crusii est, *ον* super *ωι* scripsit] t [nisi quod *τωι*] | 10 *αβραν* z | 10 *εννενηκονταεννεα* a, *ϛθ* mr | 11 *τω αβραμ* ceteri, *αυτω* z | 11 post *ειμι* + *κυριος* r | 12 *ευαρεστησεις* a, *ευαρεστη* mz [y = b] | 12 *ενωπιον* bc, *εναντιον* AD [GR] amrtz | 12 *μου* c | 12 *απεμπτος* z | 13 *θησω* mrtz | 13 *ανα μεσον εμου και* > mtz | 13 altero loco *μεσων* z | 14 *σφοδρα* bis mrt | 15 *αυτου* > z | 15 *και* alterum > z | 16 *εγω* > cmtz | 16 post *σου* + *και πληθυνω σε σφοδρα* z | 16 *πληθους* Aabcrz, *πολλων* mt

ἐθνῶν. [5] καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἅβραμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. [6] καὶ αὐξανῶ σε σφόδρα σφόδρα, καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. [7] καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον εἶναι σοῦ θεὸς καὶ τοῦ σπέρματός σου μετὰ σέ. [8] καὶ δώσω σοὶ καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς, πᾶσαν τὴν γῆν Χαναάν, εἰς κατάσχεσιν αἰώνιον· καὶ ἔσομαι αὐτοῖς εἰς θεόν. [9] καὶ εἶπεν ὁ θεὸς πρὸς Ἀβραὰμ Σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. [10] καὶ αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικόν. [11] καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. [12] καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται

1 *ετι* ante *αβραμ* m | 1 *αλλα* r | 2 *εσται* Aabcmtz, *κληθησεται* r | 2 *το ονομα σου αβρααμ* D [superest sub *ο ονομα σου* uersu sequenti *μα σου αβρα*] abcm, *αβρααμ το ονομα σου* A | 3 *τεθηκα* r | 3 *σε* secundum *σαι* scribit t | 3 *σφοδρα* alterum > Arz [D=b] | 4 *εθνος* r | 4 post *βασιλεις* + *εθνων* c | 4 *εξελευσονται* Aabmrtz², *εξελευσοται* z¹, *εσονται* c | 4 *θησω* z | 5 *σου* ab, *εμου και ανα μεσον σου* AD [GR, qui spatio inter *αναμε* et *εσον σου* uel nunc emetiendo uera testatus comprobatur] cmrtz | 6 *τας* > AD [GR] rz | 7 ante *θεος* + *ο* c | 7 post *σε* + z *εις γενεας αυτων* 6 et quae sequuntur usque ad *σε* 7 | 7/8 quae inter *και* alterum 7 et *σε* 8 [his inclusis] media, > mt | 7/8 „Symmachus *και διδωμι σοι*" b | 8 *μετα σε* > ay | 8 *κεις* uocis *παροικεις* in rasura A | 9 integer et 10 usque ad *θεος* nostrum [hac uoce inclusa] A in rasura manu prima. pleraque nunc euanida | 9 D punctum habet post *πασαν* | 10 *αυτω* r | 10 *εις θεον* bc, *θεος* ADamrtz | 10 *και ειπεν ο θεος προς αβρααμ* > m | 10 *προς*] *τω* z. D=b | 10 *αβραμ* a | 11 *τηρησεις* m, *διατηρησης* z, qui addit *ανα μεσον εμου και σου* | 11 *συ* > acy | 11 *τῳ σπερματι* ay | 11/12 *μετα σε* > mt | 12 *τας* > rz | 12/13 *ην διατηρησεις* > z | 13 *ημων* a, *σου* z | 14 „inde ab *εις τας γενεας αυτων* usque 18, 2 omnia desunt" D | 14 *εις τας γενεας αυτων* > c | 15 *υμιν* cz | 15 *παν αρσενικον*] *των αρσενικων* z, qui addit *εις τας γενεας αυτων* | 15 *περιτμηθησεσθαι* A, *περιτμηθησεται* z | 16 *εις σημειον* bc, *εν σημειω* Aamrtz | 16 *ανα μεσον* > mt | 17 *υμων*] *σου* z,

ὑμῖν πᾶν ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν· καὶ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματός σου, [13] περιτομῇ περιτμηθήσεται, ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος. καὶ ἔσται ἡ διαθήκη μου ἐπὶ τῆς σαρκὸς ὑμῶν εἰς διαθήκην αἰώνιον. [14] καὶ ἀπερίτμητος ἄρσην, ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς· ὅτι τὴν διαθήκην μου διεσκέδασε. [15] καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραὰμ Σάρα ἡ γυνή σου, οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, Σάρρα ἔσται τὸ ὄνομα αὐτῆς. [16] εὐλογήσω δὲ αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον. καὶ εὐλογήσω αὐτό, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἔσονται. [17] καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἐγέλασε καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων Εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱός, καὶ εἰ ἡ Σάρρα ἐνενήκοντα ἐτῶν τέξεται; [18] εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν θεὸν Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου. [19] εἶπε δὲ ὁ θεὸς πρὸς Ἀβραὰμ Ναί·

qui addit *και αναμεσον εμου και του σπερματος σου* | 17 post *υμων* + *και αναμεσον του σπερματος σου* r | 17 *και* Aabcmtz, *πλην* r

1 *και οικογενης* b, *ο οικογενης της οικιας σου* Aacrz, *ο οικογενης* sine *της οικιας σου* m in fine paginae, in media pagina t ut m | 2 post *απο* + *δε* a | 2/4 quae inter *απο* 2 et *αργυρωνητος* 4 media, > z | 2 *εστιν* > r | 3 post *σου* + *εστιν* r | 3/4 *ο οικογενης της οικιας σου και ο αργυρωνητος* > c | 4 post *αργυρωνητος* + *σου* r | 5/6 *απεριτμητον αρσεν ο* a | 5/6 *απεριτμητος* > mt | 6 *αρσεν* ceteris non mutatis yz | 7 ante *τῃ* prius + *εν* c | 7 *ηχερᾳ* a | 7 *εξολεθρευθησεται* A | 7 ante *η* + *και αφανισθησεται* c | 8 *διεσκεδασεν* Amrt [t² = b] z. in commentario r *ευσεβιου επισκοπου εμισης. Ο συρος ουτως εχει* [·] *πας ος ου περιτεμνει εξολοθρευθησεται. και ο εβραιος* [·] *πας ο μη περιτεμνων. και εικοτως. ου γαρ το νηπιον δει περι τουτου κολαζεσθαι, αλλ αυτους γονεις* | 9 *και ειπεν* abcmrtz, *ειπεν δε* A | 9 *αβραμ* tz | 10 ante *σαρα* + *ετι* c | 10 ante *σαρρα* + *αλλα* Aa [sed aldina typographi errore etiam altero loco *σαρα* habet] cmrtz | 12 *αυτον* Aamtz | 13 *εσονται* Aabc, *εξελευσονται* mrtz | 13 *αυτου* alterum > Arz | 14 *εγελασεν* Art [t² = b], *εγγιασεν* z | 14 *ειπε τῃ* c | 14 *αυτου* > cz | 14 *λεγων* > mt | 15 *εκατονταετη* mz | 15 *γεννηθησεται* m, *γενηθησεται* t, *γεννησεται* cz | 15 *υιος* > r | 15 *ει* > rtz | 15 *η* > Aamrtz | 15 *εννενηκοντα* ac, *εννενηκον* z | 15 post *ετων* + *ουσα* amrtz | 16 *τεξεται* abcmrtz, *γενησεται* A [superest tantum *σεται*] | 16 *ειπεν* At [t² = b] | 16 *τον* > c | 17 *ενωπιον* c | 17 *ειπεν* At [t² = b] | 17 *προς* abcrz, *τω* Amt [*τωι* t] | 17 *αβραμ* m | 17 *ναι* > c, *και* z

ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ· καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον, εἶναι αὐτῷ θεὸς καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. 20 περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου· καὶ ἰδοὺ εὐλόγηκα αὐτόν, καὶ αὐξανῶ αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα· δώδεκα ἔθνη γεννήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. 21 τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάρρα εἰς τὸν καιρὸν τοῦτον ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ. 22 συνετέλεσε δὲ λαλῶν πρὸς αὐτόν, καὶ ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραάμ. 23 καὶ ἔλαβεν Ἀβραὰμ Ἰσμαὴλ τὸν υἱὸν ἑαυτοῦ καὶ πάντας τοὺς οἰκογενεῖς αὐτοῦ καὶ πάντας τοὺς ἀργυρωνήτους καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ οἴκῳ Ἀβραάμ, καὶ περιέτεμε τὰς ἀκροβυστίας αὐτῶν, ἐν τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης καθὰ ἐλάλησεν αὐτῷ ὁ θεός. 24 Ἀβραὰμ δὲ ἐνενηκονταεννέα ἦν ἐτῶν, ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. 25 Ἰσμαὴλ δὲ ὁ υἱὸς αὐτοῦ ἦν ἐτῶν δέκα τριῶν, ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. 26 ἐν δὲ τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης περιετμήθη

2 *στησω* Aabmrtz, *θησω* c | 3 *ειναι αυτῳ θεος* > Acrz | 4 *μετ αυτων* r | 4 *δε* > z | 5 *και* primum > cmrt | 5 *ιδου* > Az | 5 *ευλογησα* A, *ευλογησω* c | 5 inter *αυτον* prioris syllabam *αυ* et syllabam *τον* quindecim literae erasae A: teste Babero erasae uoces *και αυξανω αυτον* mendose bis scriptae. ante *αυτον* alterum rasura quinque literarum in r: ni fallor, *αυτον* bis scriptum fuerat | 5 *και αυξανω αυτον* > a | 9 *δευτερω* m, *δευτερωι* t | 9 *συνετελεσεν* Art [t^{2} = b] | 9 ante *λαλων* + *ο θεος* az | 10 *και ελαβεν* Aabmrtz, *ελαβε δε* c | 10 *εαυτου* ab, *αυτου* Acmrtz | 11 *αυτου* > mtz | 11 *παντας τους* alterum > z | 11/12 post *αργυρωνητους* + *αυτου* mrtz | 12 post *οικῳ* + *του* r | 12 *αυτου* z, ubi ceteri *αβρααμ* | 13 *περιετεμεν* Ar | 13 *την ακροβυστιαν* mt, *την σαρκα της ακροβυστιας* r | 13 *ακροβυστειας* A | 13 post *καιρῳ* + *εκεινω* z | 15 *εννενηκονταεννεα ην ετων* a, *ην ενενηκοντα εννεα ετων* At, *ην ετων εννενηκοντα εννεα* c, *ην ϙθ ετων* mr, *ην ετων ϙθ* z | 15 *ηνικα* Aabcrz, *οτε* mt | 15 *περιετεμεν* Ar, *περιετεμε* cz, *ετεμε* mt | 16 *ακροβυστειας* A | 16/18 comma 25 > amty | 16/17 *ετων δεκατριων ην* A [sic, aliter ac uulgo traditur] c, *ην ετων ιγ* z | 17 *τριων* r sine *δεκα*, sed *ν* praecedentis *ετων* in *ι* manu recenti mutatum et *ν*, quo illud *ετων* ita spoliatum est, lineola uocali *ω* inposita suppletum | 17/18 quae inter *ηνικα* 17 et *εκεινης* 18 media, > z | 17 *περιετμηθη* Ar, *περιετετμητο* c | 17 *ακροβυστειας* A | 18 *δε* > Acmrt | 18 ante *περιετμηθη* + *και* z

Ἀβραὰμ καὶ Ἰσμαὴλ ὁ υἱὸς αὐτοῦ 27 καὶ πάντες οἱ ἄνδρες
τοῦ οἴκου αὐτοῦ καὶ οἱ οἰκογενεῖς αὐτοῦ καὶ οἱ ἀργυρώνητοι
18 ἐξ ἀλλογενῶν ἐθνῶν. 1 ὤφθη δὲ αὐτῷ ὁ θεὸς πρὸς τῇ δρυῒ
τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς
αὐτοῦ μεσημβρίας. 2 ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ
εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ. καὶ
ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς
σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν 3 καὶ εἶπε
Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν
παῖδά σου. 4 ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας
ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον. 5 καὶ λήψομαι ἄρτον,
καὶ φάγεσθε· καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν
ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. καὶ εἶπεν
Οὕτω ποίησον καθὼς εἴρηκας. 6 καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ
τὴν σκηνὴν πρὸς Σάρραν καὶ εἶπεν αὐτῇ Σπεῦσον καὶ φύρα-
σον τρία μέτρα σεμιδάλεως καὶ ποίησον ἐγκρυφίας. 7 καὶ
εἰς τὰς βόας ἔδραμεν Ἀβραάμ, καὶ ἔλαβεν ἁπαλὸν μοσχάριον
καὶ καλόν, καὶ ἔδωκε τῷ παιδί, καὶ ἐτάχυνε τοῦ ποιῆσαι

1 ο > t | 1/2 και παντες οι ανδρες του οικου αυτου > z | 2 οι prius > r | 2 αυτου alterum > Aamrtz | 2 ἀργυρωνῖται z | 3 ante εξ + οι mrt, + και οι z | 3 post εθνων + περιετεμεν αυτους A, + και περιετεμεν αυτους amrt, + και παντες οι ανδρες του οικου αυτου περιετεμεν αυτους z | 4 μαυρι z | 4 αυτου > z | 4 αυτου προς τηι θυρα m | 5 ante αναβλεψας + και z | 5 δε > z | 5 οφραλμοις c | 6 ιδεν A, ειδεν mrt[2], οιδε z | 6 τρις A | 6 ιστηκεισαν A [a Babero in uolumine IV omissum] m, ειστηκησαν z | 7 post ιδων + αυτους ay | 7 αυτων mz | 7/8 απο της θυρας της σκηνης αυτου > z | 7 της θυρας > r | 8 ειπεν Acmrt [t[2] = b] | 9 παρελθηις scribit m | 10 παιδα Aabcmrtz, δουλον D teste Grabio | 10 λημφθητω AD [GR] | 10 νιψατω A | 11 το > m | 11 λημψομαι AD [GR] | 12 ταυτα mt, τουτου z | 12/13 εις την οδον υμων > D | 12 εις > z | 13 εινεκεν ADz, ενεκα c, εινεκα r | 13 εξεκλεινατε A | 13 ειπαν Dary, ειπον z | 14 ουτως ADcmrt, τουτο z | 14 καθα D [GR] crz | 14 εσπουδασεν z | 15 της σκηνης a | 15 post προς + την ay | 15 και alterum > mr | 15/16 φυρασον post σεμιδαλεως 16 r | 16 „Aquila et Symmachus σατα“ b | 17 βους z | 17/18 ελαβεν απαλον μοσχαριον και καλον a [nisi quod ελαβε habet] b, ελαβον μοσχαριον απαλον και καλον A. ελαβε μοσχαριον απαλον και καλον cmrt [ελαβεν mrt[1]] z [και > z, neglegentia, ut credi possit]. μοσχαριον απαλον ex D seruauit Grabius | 18 εδωκεν AD [superest ν ante τω παιδι] rt [t[2] = b] | 18 post παιδι + αυτου z | 18 εταχυνεν Art [t[2] = b] | 18 του > mt

αὐτῷ. [8] ἔλαβε δὲ βούτυρον καὶ γάλα καὶ τὸ μοσχάριον, ὃ ἐποίησε, καὶ παρέθηκεν αὐτοῖς, καὶ ἔφαγον· αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον. [9] εἶπε δὲ πρὸς αὐτὸν Ποῦ Σάρρα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς εἶπεν Ἰδοὺ ἐν τῇ σκηνῇ. [10] εἶπε δὲ Ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου. Σάρρα δὲ ἤκουσε πρὸς τῇ θύρᾳ τῆς σκηνῆς, οὖσα ὄπισθεν αὐτοῦ. [11] Ἀβραὰμ δὲ καὶ Σάρρα πρεσβύτεροι προβεβηκότες ἡμερῶν· ἐξέλιπε δὲ τῇ Σάρρᾳ γίνεσθαι τὰ γυναικεῖα. [12] ἐγέλασε δὲ Σάρρα ἐν ἑαυτῇ λέγουσα Οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτερος. [13] καὶ εἶπε κύριος πρὸς Ἀβραὰμ Τί ὅτι ἐγέλασε Σάρρα ἐν ἑαυτῇ λέγουσα Ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα. [14] μὴ ἀδυνατήσει παρὰ τῷ θεῷ ῥῆμα; εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. [15] ἠρνήσατο δὲ Σάρρα λέγουσα Οὐκ ἐγέλασα· ἐφοβήθη γάρ. καὶ εἶπεν αὐτῇ Οὐχί,

1 *αυτω* z | 1 *ελαβεν* ADr | 1 *βουτηρον* z | 2 *εποιησεν* Art[t^{2} = b] | 2 *εφαγοσαν* A. in commentario r locus Acacii caesareensis adducitur, in quo *εφαγοσαν* laudatur | 3 *παριστηκει* ADmr, *παρεστηκει* c | 3 *ειπεν* A, *ειπον* amrtz | 5 *ειπε δε* > D teste Grabio | 5 *ειπεν* Aamrt [t^{2} = b] | 5 post *δε* + *ιδου* a | 5 *αναστρεφων* mrt [D = b] | 5 *ειξω* r | 6 *ἥξει* m | 7 *ηκουσεν* ADrt [t^{2} = b] | 7 *την θυραν* ctz | 7 *οπισσθεν* c | 8 *πρεσβυτεροι* > c | 8 *προβεβυκοτες* z | 9 ante *ημερων* + *ησαν* c | 9 *εξελειπεν* AD, *εξελιπον* r, *εξελιπεν* t [t^{2} = b] | 9 *γινεσθαι τη σαρρα* r | 9 *τῃ* > AD [GR] cmtz | 9 *γεινεσθαι* A | 9 *τα* r non habet nisi e correctura Crusii, librarius ipse *τῆ* dedit | 9 *γυναικια* AD | 9/10 *εγελασεν* Art [t^{2} = b] | 9/10 „Aquila *εγελασε κατ αυτης*“ b | 10 *σαρρα λεγουσα προς εαυτην ουπω* mt | 10 *αυτῆ* r | 10 *μεν* > z | 10/11 „Aquila *μετα το κατατριβηναι με εγενετο μοι τρυφερια*. Symmachus *μετα το παλαιωθηναι με εγενετο μοι ακμη*“ b | 11 *πρεσβυτης* c | 11 *και* > cz | 11 *ειπεν* Amrt [t^{2} = b] | 11 post *ειπε* + *δε* cz | 11 post *κυριος* alterum + *ο θεος* mt | 12 *προς* Aabcrz, *τω* mt | 12 ante *τι* + *λεγων* c | 12 *τι* > A [D = b] | 12 *εγελασεν* Ar | 12 ad *εν εαυτη* r in margine *ἀκυ ἐγκάτω ἀρτης*, ubi *ης* compendio * scriptum | 13 post *γε* + *ει* mt | 13 *τεξωμαι* r | 13 *δε* > cr | 13/14 *αδυνατι παρα του θεου* D teste Grabio | 13 *αδυνατει* Aamrtz | 13 *παρα* > m | 14 *τῳ θεῳ* Aabmrtz, *κυριω* c | 14 ante *ρημα* + *παν* mt | 14 ante *εις* + *οτι* z | 14 post *τουτον* + *εις ωρας* c | 14 *επαναστρεψω* a, *επαναστρεφω* z | 15 *εις ωρας* > c | 15 post *δε* + *η* mt | 16 *εφοβηθην* D teste Grabio, „sed *ν* a correctore lineola notatum“ | 16 *αυτῃ* > AD [GR] amt

ἀλλὰ ἐγέλασας. 16 ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας· Ἀβραὰμ δὲ συνεπορεύετο μετ᾽ αὐτῶν συμπροπέμπων αὐτούς. 17 ὁ δὲ κύριος εἶπε[ν] Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ. 18 Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. 19 ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῖ καὶ τῷ οἴκῳ αὐτοῦ μετ᾽ αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ πάντα, ὅσα ἐλάλησε πρὸς αὐτόν. 20 εἶπε δὲ κύριος Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρὸς μέ, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. 21 καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς μὲ συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. 22 καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ ἄνδρες ἦλθον εἰς Σόδομα· Ἀβραὰμ δὲ ἔτι ἦν ἑστηκὼς ἐναντίον κυρίου.

1 *αλλ* crz | 1 *εγελασες* z | 1 *οι ανδρες εκειθεν* cmt | 1 post *οι* + *τρεις* rz | 3 *συνπροπεμπων* A | 3 *αυτους* > D teste Grabio | 3/5 comma decimum septimum bis scribit r | 3 *ο δε*] *και ο* z | 4 *ειπε* b, quod quum ferri non posset, correxi. *ειπεν* Acrtz, *ειπε* amt^{2} | 4 *ου* > AD [GR] amt, habent bcrz | 4 in repetitione *αποκρυψω* r | 4 *εγω* > cr | 4 post *απο* + *προσωπου* mt | 5 *γεινομενος* A, *γενομενος* ay | 5 *εσται* > m | 6 „Aquila *οστεινον*, Symmachus *ισχυρον*" b | 6 *παντα τα εθνη* Aabcrtz, *πασαι αι φυλαι* m | 7 *ηδειν* Aabcmrz, *ηιδειν* t, *ειδεν* D [GR] | 7 ante *τοις* + *αβρααμ* z | 7 *τοις υιοις* m prima manu mutauit in *τους υιους*, *τους υιους* t | 7/8 *και τῳ οικῳ αυτου* D teste Grabio post *μετ αυτον* 8 | 8 *μετ αυτον* abcmrt, *μεθ εαυτον* A, *μετ αυτων* z | 8 *φυλαξουσιν* A, *φυλαξωσι* mr | 8 post *κυριου* + *του θεου* z | 8 ante *ποιειν* + *του* c, + *οτι συνταξει τους υιους αυτου* mt | 9 *αν* > D teste Grabio | 9 post *κυριος* + *ο θεος* z | 10 *ελαλησεν* Art [t^{2} = b] | 10 *προς* abcmrt, *επ* A | 10 *ειπεν* Amrt [t^{2} = b] | 10 post *κυριος* + *ο θεος* mt | 10 „schol *κραυγην την τολμαν λεγει η και την παρρησιαν*" b | 11 *γομορρων* D teste Grabio | 11 *πεπληθυται* m, *ν* ut uidetur recentius super uersum additum | 11 *προς με* > AD [GR] | 11 *και* alterum > t | 12 *μεγαλαι σφοδρα*] „Aquila et Symmachus *εβαρυνθησαν*" b. in margine r *ακυ εβαρυνθησαν: συ βεβαρηνται.* adde hexaplis | 12 ante *καταβας* + *και* c [*ουν* non deleto] | 13 *συντελουνται*] „Symmachus *επετελεσεν το εργον*" b. in margine r, auctore non nominato *συνετελεσαν το εργον* | 14 *μηγε* r | 14 *ινα* > z, *γνα* A^{1}? | 14/15 quae inter *και* 14 et *σοδομα* 15 media, > z | 14 *οι ανδρες εκειθεν* cmt | 15 *ετι* > AD [GR] cz, post *ην* ponit r | 15 post *εστηκως* + *ινα* z | 15 *εναντι* D^{1} teste Grabio, sed „*ον* additum paullo minoribus literis ad caput literae *ι* recentiori manu, sed ex antiquis uestigiis": at hunc in modum Tischen-

[23]καὶ ἐγγίσας Ἀβραὰμ εἶπε Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. [24]ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; [25] μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· μηδαμῶς. ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν; [26]εἶπε δὲ κύριος Ἐὰν ὦσιν ἐν Σοδόμοις πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀφήσω ὅλην τὴν πόλιν καὶ πάντα τὸν τόπον δι' αὐτούς. [27]καὶ ἀποκριθεὶς Ἀβραὰμ εἶπε Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριόν μου, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. [28]ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντήκοντα δίκαιοι εἰς τεσσαρακονταπέντε, ἀπολεῖς ἕνεκεν τῶν πέντε πᾶσαν τὴν πόλιν; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τεσσαρακονταπέντε. [29]καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν καὶ εἶπεν Ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα; καὶ εἶπεν Οὐ

dorfius non putat prima manu emendatum esse. εναντι cz | 15 post κυριου + του θεου mt. ad κυριου in margine r adscribitur του θεου

1 ειπεν Amrt [t^2 = b] | 1 συναπολεσης z | 1/2 μετ ασεβους c | 2 ασσεβης t | 2 post εαν + δε r | 2 ωσιν Ar | 2/3 ν̄ r | 3 δικαιοι εν τη πολει abcrz, δικαιοι εις την πολιν mt, εν τη πολι [sic] δικαιοι A | 3/4 quae inter απολεις 3 et τοπον 4 media, > m | 3 απολεσεις D [GB] crz | 3 ανοισης z | 4 παντα τον τοπον > z | 4 παντα > A | 4 τοπον εκεινον ενεκα D teste Grabio | 4 ενεκα c | 4 E iterum incipit syllabis καιων uocis δικαιων | 4 ν̄ r | 5 αυτοις E | 5 συ > c | 5 ποιησης ct | 5 ως > Ecmz [Dt = b] | 5 του > cr | 6 μετ c | 6 loco ως E ος | 7 μηδαμως] „Symmachus ουχι σου“ b | 7 πασαν post την γην E [D = b] | 8 ειπεν ADErt [t^2 = b] | 8 ante κυριος + ο D | 8 post κυριος + ο θεος mt | 8 ωσιν bc, ωσι mt, ευρω AD [GB] Earz | 8 εν σοδομοις > mt | 8 ν̄ r | 9 δικαιοι bcmt, δικαιους AD [GB] Earz | 9 post δικαιοι + εν σοδομοις mt | 9 εν τη πολει > c | 9 ανησω c | 9 ολην την πολιν και > ADEamrtz | 10 αβρααμ E post ειπεν suum | 10 ειπεν ADErt [t^2 = b] | 11 ειρξαμην z | 11 μου > ADEcmrt | 12 ελαττονοθωσιν E, ελαττωθωσιν mr, ελαττοθωσιν tz [D = b] | 12 ν̄ r | 12 δικαιοι > E | 12/13 εις τεσσαρακονταπεντε abcmtz, εις σαρακονταπεντε E, εις με r, πεντε AD | 13 απολεσεις mtz | 13 πεντε Ab, σαρακονταπεντε E, τεσσαρακονταπεντε cmtz, με r | 14 ante ου + οτι ADE | 14 ου μη απολεσω > mtz [D = b] | 14 ευρω Aabmrtz, ευρεθωσιν Ec | 14/15 τεσσερακονταπεντε AD [superest τεσσερακοντ], με r | 15 post ταπεντε + ου μη απολεσω mtz | 15 in προσεθηκεν r post ο unam literam radendo deleuit | 16 δε >

μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα. [30]καὶ εἶπε Μή τι,
κύριε, ἐὰν λαλήσω· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; καὶ
εἶπεν Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τριάκοντα. [31]καὶ εἶπεν
Ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον, ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ
εἴκοσι; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ εἴκοσι.
[32]καὶ εἶπε Μή τι, κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ· ἐὰν δὲ
εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν
δέκα. [33]ἀπῆλθε δὲ ὁ κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ,
19 καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ. [1]ἦλθον δὲ
οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ
τὴν πίλην Σοδόμων. ἰδὼν δὲ Λὼτ ἐξανέστη εἰς συνάντησιν
αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν [2]καὶ εἶπεν
Ἰδού, κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ κα-
ταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπε-
λεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. καὶ εἶπαν Οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ
καταλύσομεν. [3]καὶ κατεβιάσατο αὐτούς, καὶ ἐξέκλιναν πρὸς

DEc, post *ευρεθωσι* suum z | 16 *ευρεθωσι* mtz | 16 *εκει* > mt | 16 *τεσσερακοντα* AD [superest *σερακοντα*], *μ* rz | 16/1 *ου μη* Abcz, *ουκ* Eamrt

1 *απολω* a | 1 *ενεκε* t | 1 *τεσσερακοντα* A, *μ* rz | 1 *ειπεν* ADEmrt [t² = b] | 1/2 „schol *μη δη οργιλον τω κυριω*“ b | 2 *εαν λαλησω κυριε* c | 2 *δε* > D [GR] | 2 *λ* rz | 3 *ου μη* Aabcrz, *ουκ* mt | 3 *ενεκεν των* abcmt, *εαν ευρεθωσιν εκει* AEr, *εαν ευρω εκει* z | 3 *λ* rz | 4 post *κυριον* + *μου* mrt | 4 *δε* > Er | 4 *εκει* > E | 5 utroque loco *εικοσιν* m, utroque *κ* rz, altero *κ* t | 5 *εαν ευρω εκει* bc, *ενεκεν των* AD [GR] amrtz, *ενεκεν τον* E | 6 *και ειπε* > m | 6 *ειπεν* AErt [t² = b] | 6 *ετι* > z | 7 *ευρεθωσι* mt | 7 *εκει* > mt | 7 *δεκα εκει* E | 7 *ι* z | 7 *ου μη* Abc, *ουκ* Eamrtz | 8 *ι* z | 8 *απηλθεν* AErt [t² = b] | 8 *ο* > AD [GR] Eamrtz | 8 *κυριος* > r | 9 *και* > z | 9 *αβρααμ* ante *εις* z | 9 *επεστρεψεν* r, *υπεστρεψε δε* z | 9 *ανηλθον* E | 11 *πυλην* Abcmrtz, *πολιν* a | 11 *ειδων* t | 11 *ανεστη* Ac, *εξανεστησεν* E | 12 *προσεκυνησεν* AD [superest *νησεν*] Emrt, *προσεκινησεν* z | 12 ante *τω* + *εν* z | 12 *τω προσωπω*] *επι προσωπον* mt | 13 *εκκλεινατε* A | 13 post *εκκλινατε* + *προς με* mt | 13 *εις* Eabcmrtz, *προς* A | 13/14 quae inter *και* 13 et *υμων* 14 media, > E: in margine suppleta, sed *ατε* uocis *καταλυσατε*, *ατε* uel *ασθε* uocis *νιψατε* (*νιψασθε*), *οδας* uocis *ποδας* nunc perierunt | 13/14 *καλυσατε* A, *τα* prima manu super uersum | 14 *νιψασθαι* z, *νιψατε* Aa | 14 *ορθισαντες* A | 14/15 *απελευσεσθαι* AD [GR] | 15 *εις* > c | 15 post *υμων* + *ου εινεκεν εξεκλινατε προς τον παιδα υμων* Er | 15 *και ειπαν* Eabmt, *ειπαν δε* Ar, *ειπον δε* cz | 15 *αλλα* Emt | 15 post *αλλ* + *η* A | 16 *καταλυσωμεν* Ez [D = b] |

αὐτόν. καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ· καὶ ἐποίησεν αὐτοῖς πότον καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον. [4]πρὸ τοῦ κοιμηθῆναι δὲ οἱ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα. [5]καὶ ἐξεκαλοῦντο τὸν Λὼτ καὶ ἔλεγον πρὸς αὐτὸν Ποῦ εἰσὶν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς. [6]ἐξῆλθε δὲ Λὼτ πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέῳξεν ὀπίσω αὐτοῦ. [7]εἶπε δὲ πρὸς αὐτοὺς Μηδαμῶς, ἀδελφοί, μὴ πονηρεύσησθε. [8]εἰσὶ δέ μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα· ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς καθὰ ἂν ἀρέσκοι ὑμῖν· μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου. [9]εἶπαν δὲ αὐτῷ Ἀπόστα ἐκεῖ· εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σὲ κακώσωμεν μᾶλλον

16 κατεβιασατο Ebc, παρεβιαζετο A, κατεβιαζετο D [GB] amrt, κατεβιαζεν z | 16 post αυτους + σφοδρα r | 16 εξεκλειναν AD [superest εξεκλει]

1 ηλθον r | 1 τον οικον Eabmtz, την οικιαν Acr | 1 αυτοις radendo ex αυτους factum t | 2 τοπον loco ποτον a | 2 αζυμοις tz | 2 επεμψεν Eatz [D = b] | 2 punctum post εφαγον positum non agnoscunt ADEamrtz | 2/3 κυμηθηναι m. post κοιμηθῆναι + αυτους r | 3 δε bc, και AD [GB] Eamrtz | 3 σοδομειται AE, σοδομηται z | 3/4 εκυκλωσαν c | 4/5 quae inter την 4 et καὶ ἔ 5^{md} media, prima manu in margine r | 4 πρεσβυτου c | 4 απας AEabmrtz, πας c | 4 in λαος nunc ο madore deletum in m | 5 εξεκαλουντο AEabmrtz, προσεκαλουν c | 5 ελεγον AEabmrtz, ειπον c | 6 οι ανδρες > a | 6 ελθοντες mt | 6 την > a | 7 υμας b errore typographi | 7 εξηλθεν AErt [t^2 = b] | 8 προς αυτους λωτ r | 8 προς αυτους > c | 8 προς το προθυρον > A | 8 την δε θυραν Eabcmrtz, και την θυραν A | 8/9 προσοξεν E, προσεαξεν z | 9 αυτων D teste Grabio | 9 ειπεν AEr[?]t [t^2 = b] | 9 προς αυτους AEabz, αυτοις cmrt | 9/10 ante αδελφοι + ανδρες c | 10 πορευεσθε a, πονηρευησθε c, πονηρευεσθε mrt, πονηρευεσθαι z | 10 εισιν AEr | 10 δυο > a | 10 θυγατεραις m compendio scriptum | 11 ανδρας mrtz | 11 εξαξω Aabcmrtz, και αξω E | 11 χρησασθαι A, χρισασθαι z, χρησασθε D [GB] r, χρασθαι E | 11 αυταις Aabcrt, αυτας Emz | 12 καθο D [GB] rz, καθ ο c | 12 αν > Az | 12 αρεσχη AD [GB] Ert, αρεσκει amz | 12 ανδρας Aabcmrtz, ανθρωπους D teste Grabio | 13 ποιησατε z | 13 ante αδικον + μηδεν Arz, + μηθεν mt | 13 ενεκεν c | 13 σκεπην bcrz, στεγην AD [GB] Eamt | 14 ειπον Emrtz | 14 αυτῳ > AD [GB] Eamrtz | 14 post εκει + και ειπαν r | 15 και > m | 15 κρισην t^1 [t^2 = b], νομους r | 15 κρινειν Eabcmrtz, κριναι A | 15 κακωσομεν Aacmrt, κακοσωμεν E

ἢ ἐκείνους. καὶ παρεβιάζοντο τὸν ἄνδρα τὸν Λὼτ σφόδρα, καὶ ἤγγισαν συντρίψαι τὴν θύραν. [10] ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν· [11] τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἐν ἀορασίᾳ, ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. [12] εἶπαν δὲ οἱ ἄνδρες πρὸς τὸν Λὼτ Εἰσί σοι ὧδε γαμβροὶ ἢ υἱοὶ ἢ θυγατέρες, ἢ εἴ τις σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει, ἐξάγαγε ἐκ τοῦ τόπου τούτου· [13] ὅτι ἡμεῖς ἀπόλλυμεν τὸν τόπον τοῦτον, ὅτι ὑψώθη ἡ κραυγὴ αὐτῶν ἔναντι κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς κύριος ἐκτρίψαι αὐτήν. [14] ἐξῆλθε δὲ Λὼτ καὶ ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ καὶ εἶπεν Ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει κύριος τὴν πόλιν. ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ. [15] ἡνίκα δὲ ὄρθρος ἐγένετο, ἐσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες Ἀναστὰς λάβε τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας σου, ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις

1 *τον ανδρα* > mt | 2 *ηγγεισαν* A | 2 *θυρα* E | 3 *επεσπασαντο* Er. „Iustinus pro *εισεσπασαντο* legit *επιασαν*“ b | 3/4 *εις τον οικον προς εαυτους* c | 3/4 *εις τον οικον* > mt | 4 *τας θυρας* z | 4 *οικου* Aabcmrtz, *τοιχους* E | 5 *οντας* > r | 5 *την θυραν* m | 5 *του οικου* > c | 5 *οικου* Aabcmrtz, *τοιχου* [sic] E | 5 *εν* > AD [GR] Eamrtz | 7 *θυρα* E | 7 *ειπον* cmtz [D = b] | 7 *τον* > AD [GR] Emrtz | 7 *εισι* bc, *εστιν τις* AEmt, *εστιν* D [GR] r, *εστι τις* at[2]z, in margine t *εισι τινες* | 8 *γαμβρος* Ez [D = b] | 8 *υοι* r | 8 *η ητις* A, *η τις* E | 9 post *εξαγαγε* + *αυτους* Emtz [D = b] | 9 *εκ* > mt | 9/10 *απολλυμεν ημεις* ADEcmrtz | 10 *αυτην* z | 11 *εναντιον* ADEr, *ενωπιον* c | 11 *ημας* E [non D] post *εκτριψαι* ponit | 11 post *κυριος* + *ο θεος* z | 11 *εντριψαι* a | 12 *εξηλθεν* AErt[1] | 12 *ελαλησεν* AD [superest *σεν*] Er | 14 *εξελθατε* ADEm | 14 *εκτριψει* c | 15 *εδοξεν* AD [superest *οξεν*] E | 15 *δε* > z | 15 *εναντιον* ADabmrtz, *με αντι* E, *ενωπιον* c | 15 *ηνικα* AEabmrtz, *ως* c | 16 *εγινετο* ADt | 16 *επεσπουδαζον* AD [superest *επεσπου*] tz | 16 *αγγελοι* abcr. *αγγελοι τον λωτ λεγοντες* in A *α* primum et *τες* in corio intacto habet. quae *α* illud primum sequebantur literae septem [incluso *τ* uocis *τον*] nunc euanuerunt in rasura. post *ν* uocis *λεγοντες* literae unius rasura, ut et *λεγον* in rasura scriptum | 17 *παραλαβε* c | 17 *δυο* et *σου* > D teste Grabio: quum in D nunc ante *ας εχεις* supersit *σ*, clarum *σου* alterum non adfuisse. *σου* alterum > Emrtz, *δυο* et *σου* alterum > c | 18 post *εχεις* + *ενταυθα* r | 18 *και συ* > Acmtz | 18 *συ* > r | 18 *απολη* E, *συναπολλοι* z

τῆς πόλεως. [16]*καὶ ἐταράχθησαν, καὶ ἐκράτησαν οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ καὶ τῶν χειρῶν τῶν δύο θυγατέρων αὐτοῦ ἐν τῷ φείσασθαι κύριον αὐτοῦ.* [17]*καὶ ἐγένετο, ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω, καὶ εἶπαν Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς.* [18]*εἶπε δὲ Λὼτ πρὸς αὐτοὺς Δέομαι, κύριε,* [19]*ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπ᾽ ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μήποτε καταλάβῃ με τὰ κακά, καὶ ἀποθάνω.* [20]*ἰδοὺ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἥ ἐστι μικρά· καὶ ἐκεῖ διασωθήσομαι. οὐ μικρά ἐστι; καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ.* [21]*καὶ εἶπεν αὐτῷ Ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας·* [22]*σπεῦσον οὖν τοῖ σωθῆναι ἐκεῖ· οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα ἕως τοῦ ἐλθεῖν σε ἐκεῖ.*

1 *εταραχθησαν*] „Aquila *εμελλησεν*. schol *εστρατευσατο*“ b | 2 initio *τας χειρας* z | 2 *αυτου* prius DEabcmrtz, *αυτων* A | 2 *της χειρος* alterum > E | 2/3 *της χειρος* loco *των χειρων* D [superest *της*] | 3 *δυο* > Emt [non D] | 3 post *κυριον* + *τον θεον* mt [non D] | 4 *αυτω* E | 4 post *αυτου* + *και εξηγαγοσαν αυτον και εθηκαν αυτον απεξω της πολεως* r | 4 *εγενετο ηνικα* > r | 4 post *ηνικα* + *και* t | 4 *εξηγαγοσαν* r, *εξηγαγεν* z | 4 *αυτους* Aabcmrtz, *αυτον* E | 4 *εξω* > z | 4 post *εξω* + *της πολεως* D [GR: superest *πολεως*] | 4 *ειπον* crtz | 5 *σωζων* > r | 5 *περιβλεψης* AEcz, *βλεψη* a | 6 *περιχορω* m | 6/7 post *μηποτε* + *μη* z | 7 *συνπαραλημφθης* A, *συμπαραλημφθης* DE, *συμπαραληφθεις* mz | 7 *ειπεν* AErt [t² = b] | 7 *δαιομε* A | 8 *κυριοι* z | 8 *ευρον* c | 8 *ελεος* AEabmrtz, *χαριν* c | 8 *σου* alterum] *υμων* z | 9 *ο ποιεις* Aabcmt, *ου ποιησεις* E, *ο ποιησεις* r, *ο ποιης* z | 9 *επ*] *εις* z | 9 *ζην* AEabmrtz, *ζησαι* c. „schol *του ζωωσαι*“ b | 10 *σωθηναι* c | 11 *μηποτε* bz, *μη* AD [GR] Eacmrt | 11 *καταλαβει* z | 11 post *ιδου* + *η* AD [GR] Eamrtz | 11 *πολεις* A | 12 *εστιν* ADE | 12 *και* > ADEarz | 12 *εκει* alterum > c, ante *ου* 13 ponit r | 12/13 „ita latina uetus editio. in AA LL *ου μικρα εστι* sine nota interrogationis. Philo *μικραν τε και ου μικραν την πολιν ταυτην οι χρησμοι διασυνιστασιν*“ b | 13 *σωθησομαι* AEacrz | 13 *μακρα* z | 13 *εστιν* ADEmt [t² = b] | 14 *ενεκεν σου* > Dr | 14 *σου* alterum > r | 14/15 „Symmachus *ορασει εδυσωπηθην το προσωπον σου*. Aquila *ηρα το προσωπον σου*“ b. in margine r *ακυ ἴδοὺ ἦρα πρόσωπον σου: συ ὁράσει ἐδυσωπήον* [sic] *προσωπόν σου*: | 15 post *σωπον* + *σου* r | 15 *και* > a | 15 *ρήματη* r | 15 *τουτο* z | 16 *ελαλησε* z | 16 *ουν* > mt [non D] |

διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγώρ. [23] ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ, [24] καὶ κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐξ οὐρανοῦ, [25] καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίχωρον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς. [26] καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός. [27] ὤρθρισε δὲ Ἀβραὰμ τῷ πρωὶ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον κυρίου, [28] καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας καὶ ἐπὶ πρόσωπον τῆς περιχώρου, καὶ εἶδε· καὶ ἰδοὺ ἀνέβαινεν φλὸξ ἐκ τῆς γῆς ὡσεὶ ἀτμὶς καμίνου. [29] καὶ ἐγένετο ἐν τῷ ἐκτρίψαι τὸν θεὸν πάσας τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξα-

17 ante *ποιησαι* + *του* Da | 17 *του ελθειν σε* abc, *του σε ελθειν* Ar, *ου εισελθης* D [GR: superest *εισελθης* ante *εκει*], *του σε εισελθειν* Emtz

1 *εκαλεσεν* DErt [t² = b], *επωνομασεν* A | 1 *της πολεως* > z | 1 *εκεινης* > D | 1 *σιγωρ* az, *συγωρ* c. in commentario m: *Σηγωρ ερμηνευεται μικρα βραχεια. ταυτην αλλαχου η γραφη ζωγορα καλη. ο δε συρος ζαρὴ και βαλα, τουτεστι καταπιουσα. διο φασι τινες οτι ου κατεκαησαν, αλλα κατεποθησαν κτέ.* in margine r *βραχεῖα μικρά* | 2 *σιγωρ* az | 3 post *κυριος* + *ο θεος* E | 3 *εβρεξε* z [sic] | 3 *πυρ και θειον* m, sed prima manu literis *α* et *β* superscriptis in nostrum ordinem redactum | 4 *παρα κυριου* > z | 4 *εξ ουρανου* bc, *εκ του ουρανου* AD [superest *εκ του ουρα*] Eamrtz | 4 *κατεστρεψεν* AD [superest *ατεστρεψεν*] Er | 4 ante *τας* + *πασας* mt | 4 *πολις* t | 4/5 post *ταυτας* + *εν αις κατωκει εν αυταις λωτ* A: loco *ταυτας* D teste Grabio *πασας*. ut D etiam E | 5 *την περιχωρον* bcm, *περιοικον* [sine articulo] A, *την περιοικον* DEar | 6 *πολεσιν* A? lineola *ν* significans una cum *εσι* nunc euanidis euanuisse potuerit. *πολεσιν* D [superest *σιν*] Ecrt [t² = b] | 6 *και* prius > a | 6 ante *τα* + *παντα* ADEamt | 6 *τα ανατελλοντα*] *παν ανατελλον* z | 6 *εκ της γης* > E, qui: ponit. *επι της γης* c | 7 *αυτου* > E, *του λωτ* z | 8 sqq commata 27 28 29 „desunt“ in D | 8 *ωρθρισεν* Art [t² = b], *ορθρισεν* E, *ορθρισε* m | 8 *τῳ* ab, *τω* mr, *το* AEctz | 9 *ιστηκει* AEm, *εστηκει* c | 9 ante *εναντιου* + *εκει* E | 9 *εναντι* cz | 10 *γομορρων* c | 10 post *επι* + *παν* r | 10 post *προσωπον* + *της γης* Aarz, + *πασης της γης* E, + *πασης της γης εκεινης* mt | 11 *ιδεν* AE, *ειδεν* mrt [t² = b] z | 11 *ανεβαινεν* Abrt, *ανεβεννεν* E, *ανεβαινε* amt²z, > c | 11 *εκ* > AEmt | 11 *ωση* E, *ως* c | 11/12 *καμεινου* A | 12 *τον θεον* bcr, *κυριον* Aamtz, > E | 13 *πολις* E¹ | 13 *περιχωρου* mt | 13 post *εμνησθη* + *δε* c | 13 *ο θεος* Aabcrz, *κυριος* [illegible] | 13/1 *εξαπεστειλεν* AEr

πέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς, ἐν τῷ καταστρέψαι κύριον τὰς πόλεις, ἐν αἷς κατῴκει ἐν αὐταῖς Λώτ. 30 ἀνέβη δὲ Λὼτ ἐκ Σηγώρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει, αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ᾽ αὐτοῦ· ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σηγώρ· καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ᾽ αὐτοῦ. 31 εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν Ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ· 32 δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶμεν μετ᾽ αὐτοῦ καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. 33 ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νυκτὶ ἐκείνῃ· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ ἐν τῷ ἀναστῆναι. 34 ἐγένετο δὲ ἐν τῇ ἐπαύριον, καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν Ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν αὐτὸν οἶνον καὶ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα κοιμήθητι μετ᾽ αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς

1/2 *εκτριψαι* mt | 2 *κυριον* > c | 2 post *κυριον* + *τον θεον* E | 2 *τας πολεις* > z | 3 *ανεβη δε* Ebmrtz, *και εξηλθεν* A, *και εξηλθε* a, *εξηλθε δε* c | 3 *εν* loco *εκ* Ez | 3 *σιγωρ* a | 3 *αυτος* > AD [GR] a, habent Ebcmtz | 4 *θυγατεραις* m | 4 *μετ αυτου* > z | 4 ante *εφοβηθη* + *εν τω ορει* z | 4 *εφοβηθησαν* mt | 4 *εφοβηθη* usque ad finem commatis > D teste Grabio, quem uera testatum esse spatium superstes docet. *εφοβηθη* usque ad *σηγωρ* 5 prima manu serius addita in r | 4/5 *οικησαι* Ez | 5 *εν* prius AEabcmtz, *εις* r | 5 *σιγωρ* az | 5 *ωκησεν* Amrtz, *ῳκησεν* a, *ωκοδομησεν* E | 6 *δυο* > amt | 6 *θυγατεραις* E¹z | 6 *ειπεν* AErt [t² = b] | 7 *νεωτερα* A | 8 *επι* AEbcmrtz, *εκ* a | 8/9 *καθῆκε* z | 9 *και* Ebcmrtz, *ουν* Aa | 9 *ποτησωμεν* m | 11 *εποτησαν* m | 12 *εν* > r | 12 *εκεινῃ* bc, *εκεινη* rz, *ταυτη* ADEm, *ταυτῃ* a, *ταυτηι* t | 13 *εν τῃ νυκτι εκεινῃ* > D teste Grabio, *την νυκτα εκεινην* AEamrt | 13 *εν* > z | 14 *ηδει* Aabcrz, *ηιδει* mt, *εγνω* D teste Grabio [?] | 14 *αυτον* bc, *αυτην* AD [superest *την*] Eamrtz | 14 *και*] *ἢ* mt | 14 *εν τῳ* alterum > ADEacrz contra bmt | 14/15 *εγενετὸ δε* > z | 15 *εν* > AD [GR] Eamrz | 15 ante *τῃ* + *και* z | 15 *και* > z | 15/16 *προς την νεωτεραν*] *τηι νεωτερα* m, *την νεωτερα* t¹, *τη νεωτερα* t² | 16 post *ιδου* + *εγω* z | 16 in *εκοιμηθην* post *ε* litera radendo deleta t | 16 *εχθες* AD [GR] Er | 16/17 *ποτησωμεν* m | 17 *εν τῃ νυκτι ταυτῃ* bc, *τηι νυκτι ταυτη* m, *την νυκτα ταυτην* AD [GR] Eartz. m^mg *γρ και την νυκτα ταυτην* manu ut uidetur secunda | 17 post *εισελθουσα* + *την υκτα* [prima manu *ν* super uersum additum] *ταυτην* r | 18 *εξαναστησομεν* a | 18/1 *σπερμα εκ του πατρος ημων* E

ἡμῶν σπέρμα. [35]ἐπότισαν δὲ καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ τὸν
πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη
μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐ-
τὸν καὶ ἀναστῆναι. [36]καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ
ἐκ τοῦ πατρὸς αὐτῶν. [37]καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱόν, καὶ
ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ λέγουσα Ἐκ τοῦ πατρός μου·
οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. [38]ἔτεκε
δὲ καὶ ἡ νεωτέρα υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμὰν
λέγουσα Υἱὸς γένους μου· οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς
20 σήμερον ἡμέρας. [1]καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς
λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σούρ· καὶ
παρῴκησεν ἐν Γεράροις. [2]εἶπε δὲ Ἀβραὰμ περὶ Σάρρας τῆς
γυναικὸς αὐτοῦ ὅτι ἀδελφή μου ἐστίν· ἐφοβήθη γὰρ εἰπεῖν
ὅτι γυνή μου ἐστί, μήποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες
τῆς πόλεως δι' αὐτήν. ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γε-
ράρων καὶ ἔλαβε τὴν Σάρραν. [3]καὶ εἰσῆλθεν ὁ θεὸς πρὸς

1 *και* > c | 1 *εν* > z | 2 *αυτον* E¹, *ω* super uersum scriptum | 3 post *αυτης* + *την νυκτα εκεινην* r, + *τη νυκτι εκεινη* z | 3 *ηδει*] *εγνω* D [GR], *ηδειν* z | 3/4 *αυτην* AD [GR] Eamrtz | 4 *αι δυο θυγατερες λωτ* c post *αυτων* 5 | 4 *θυγατεραις* z | 6 *εκαλεσεν* AErt | 6 *αυτον* a [sic] | 6 ad *μωαβ* r ᵐᵍ *εκ πατρος μου η υδωρ πατριον* | 6 post *μου* + *ουτος* mt | 7/8 *και η νεωτερα δε ετεκεν* r | 7 *ετεκεν* AD [superest *ν* ante *δε*] Ect¹ [t² = b] | 8 *και* prius > t | 8 *εκαλεσεν* AD [superest *εν* ante *το*] Ert [t² = b] | 8 *αμμον* c, *αμμων* r [qui in margine *λαος ημων*], *αμαν* z | 9 *λεγουσα* > AD [GR] Eacr | 9 ante *υιος* + *ο* A | 9 *υιον* E | 9 post *υιος* + *του* ADEamrtz | 9 *γενου* r | 9 post *μου* + *λεγουσα* a | 9 *αμμονιτων* c [Drz = b]. in commentario r *Οι αμμανιται και αυτοι της αραβιας εκρατησαν τα μερη φιλαδελφιας. ητις αμμων καλειται παρα των επιχωριων* | 10 *εκεινησεν* AE | 10 *αβρααμ εκειθεν* c | 10 *εις γην* > c, *εις την* r | 10 *προς* Aabcmrtz, *εως* E | 11 *λιβαν* z | 11 ad *καδης* r ᵐᵍ *αγιον*, ad *σουρ* idem *τειχος η ευθυσμος* | 11 *καδδης* z | 12 *γαραροις* z | 12 post *γεραροις* r in commentario *Ουτοι* [sed qui?] *της αραβιας κατεσχον τας αμφι την καλουμενην αρεοπολιν. ητις ην μητροπολις το παλαιον του μωαβιτων εθνους* | 12 *ειπεν* AD [superest *εν* ante *δε*] Emrt [t² = b] | 12 *αβραμ* D | 13 *οτι* > DEamt | 13/15 quae inter *εφοβηθη* 13 et *αυτην* 15 media, > rz | 14 *οτι* > D [GR] Ea [habet hoc loco m] | 14 *εστιν* AD [superest *ν* ante *μηποτε*] Emt [t² = b] | 14 *αποκτενουσιν* at, *ἀποκτενᾶσιν* m | 15 *απεστειλεν* AD [superest *στειλεν* ante *δε*] Ert [t² = b] | 15 ad *αβιμελεχ* r ᵐᵍ *πατρος μου βασιλεια* | 15/16 *γαγαραρων* E. in *γεραρων* ante *ω* litera

Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα καὶ εἶπεν Ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς ἧς ἔλαβες· αὕτη δὲ ἐστὶ συνῳκηκυῖα ἀνδρί. [4]*Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς, καὶ εἶπε Κύριε, ἔθνος ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς;* [5]*οὐκ αὐτός μοι εἶπεν Ἀδελφή μου ἐστί; καὶ αὕτη μοι εἶπεν Ἀδελφός μου ἐστίν; ἐν καθαρᾷ καρδίᾳ καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο.* [6]*εἶπε δὲ αὐτῷ ὁ θεὸς καθ' ὕπνον Κἀγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, καὶ ἐφεισάμην σου, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ· ἕνεκα τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς.* [7]*νῦν δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ· εἰ δὲ μὴ ἀποδίδως, γνώσῃ ὅτι ἀποθανῇ σὺ καὶ πάντα τὰ σά.* [8]*καὶ ὤρθρισεν Ἀβιμέλεχ τῷ πρωὶ καὶ ἐκάλεσε πάντας τοὺς παῖδας αὐτοῦ, καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν· ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα.* [9]*καὶ ἐκάλε-*

radendo deleta r. r [mg] *φραγμος* | 16 *ελαβεν* ADErt [$t^2 = b$] | 16 *σαρρα* r | 16 *ηλθεν* r

1 *εν υπνῳ* > cr | 1 *υπνιω* m, *ενυπνιωι* t [*εν* in utroque praemittitur] | 1 post *υπνῳ* + *αυτου* z | 1 post *ειπεν* + *αυτω* Aa [non D] | 1 *συ* > Ez, post *αποθνησκεις* ponit c | 2 *η* r | 2 *εστιν* ADEt [$t^2 = b$] | 2 *συνωκυια* z | 3 „inde a uersu 4 usque ad 21, 3 desideratur“ D | 3 *ειπεν* AEmrt [$t^2 = b$] | 3 post *κυριε* + *ο θεος* mt | 4 *απολεις* AEabm, *απολεσεις* r, *ουκ αποκτενεις* c | 4 *ειπεν μοι* r | 4 et 5 post *ειπεν* + *οτι* E | 5 initio *εστιν* AEcmrt [$t^2 = b$] | 5 *και αυτη μοι ειπεν αδελφος μου εστιν* > r | 5 *εν*] *εκ* z sequentibus non mutatis | 5/6 loco quo pertineat adcuratius non indicato r [mg] *ἀκυ συνάπλοτητ συ συναγαθοπ* [*π* super *ο* scriptum] | 6 *εν* > cmt | 6 *ειπεν* AEmrt [$t^2 = b$] | 7 *αυτῳ* > az | 7 *καθ υπνον* > mt | 7 *υπνου* z | 7 *καγω*] *καιγε εγω* z | 7 *καθαρᾳ* omiserat E, qui inter scribendum post *καρδια* post finem unius et ante initium uersus sequentis addidit | 8 *εποιησα* A [1], prima manu correctum | 8 *εφησαμην* E | 8 post *εφεισαμην* + *εγω* Aar | 8 post *σου* + *εγω* mt. *σου* bis scribit z | 8 *αμαρτειν σε* AEabmt, *αμαρτησαι* c, *αμαρτανειν* [sine *σε*] r, *αμαρτανειν σε* z | 9 *ενεκεν* AEmrtz | 9 post *σε* + *του* c | 9 *νυνι* mt | 10 *εστιν* AErt [1] [cum taedeat semper referre t^2 radendo idem habere quod b, semel dixisse sufficiat, ubicumque t^1 positurus sum, t^2 cum b conuenire] | 11 *ζησει* E, *ζησεις* c | 11 *αποδως* cmt | 11 *γνωθι* Acmrz, *γνωθη* Et | 12 *οτι* > z | 12 *αποθνησκεις* a | 13 *τῳ* ab, *τω* mr, *το* AEctz | 13 *εκαλεσεν* AEr | 14 *ελαλησεν* AEr | 14 ante *παντα* + *κατα* c | 15 *ανθρωποι* AEabr, *ανδρες* cmtz | 15 ante *σφοδρα* + *τον κυριον* mt, + *τον θεον* r | 15/1 in *εκαλεσεν* ante *α* rasura unius literae capax t

ἀλλὰ ἐγέλασας. [16] ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας· Ἀβραὰμ δὲ συνεπορεύετο μετ' αὐτῶν συμπροπέμπων αὐτούς. [17] ὁ δὲ κύριος εἶπε[ν] Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ. [18] Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς. [19] ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῖ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς κυρίου, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ Ἀβραὰμ πάντα, ὅσα ἐλάλησε πρὸς αὐτόν. [20] εἶπε δὲ κύριος Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρὸς μέ, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. [21] καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς μὲ συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. [22] καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ ἄνδρες ἦλθον εἰς Σόδομα· Ἀβραὰμ δὲ ἔτι ἦν ἑστηκὼς ἐναντίον κυρίου.

1 αλλ crz | 1 εγελασες z | 1 οι ανδρες εκειθεν cmt | 1 post οι + τρεις rz | 3 συνπροπεμπων A | 3 αυτους > D teste Grabio | 3/5 comma decimum septimum bis scribit r | 3 ο δε] και ο z | 4 ειπε b, quod quum ferri non posset, correxi. ειπεν Acrtz, ειπε amt^2 | 4 ου > AD [GR] amt, habent bcrz | 4 in repetitione αποκρυψω r | 4 εγω > cr | 4 post απο + προσωπου mt | 5 γεινομενος A, γενομενος ay | 5 εσται > m | 6 „Aquila οστεινον, Symmachus ισχυρον" b | 6 παντα τα εθνη Aabcrtz, πασαι αι φυλαι m | 7 ηδειν Aabcmrz, ηιδειν t, ειδεν D [GR] | 7 ante τοις + αβρααμ z | 7 τοις υιοις m prima manu mutauit in τους υιους, τους υιους t | 7/8 και τω οικω αυτου D teste Grabio post μετ αυτον 8 | 8 μετ αυτον abcmrt, μεθ εαυτον A, μετ αυτων z | 8 φυλαξουσιν A, φυλαξωσι mr | 8 post κυριου + του θεου z | 8 ante ποιειν + του c, + οτι συνταξει τους υιους αυτου mt | 9 αν > D teste Grabio | 9 post κυριος + ο θεος z | 10 ελαλησεν Art [t^2 = b] | 10 προς abcmrt, επ A | 10 ειπεν Amrt [t^2 = b] | 10 post κυριος + ο θεος mt | 10 „schol κραυγην την τολμαν λεγει η και την παρρησιαν" b | 11 γομο͂ρρων D teste Grabio | 11 πεπληθυται m, ν ut uidetur recentius super uersum additum | 11 προς με > AD [GR] | 11 και alterum > t | 12 μεγαλαι σφοδρα] „Aquila et Symmachus εβαρυνθησαν" b. in margine r ακυ εβαρυνθησαν: συ βεβαρηνται. adde hexaplis | 12 ante καταβας + και c [ουν non deleto] | 13 συντελουνται] „Symmachus επετελεσεν το εργον" b. in margine r, auctore non nominato συνετελεσαν το εργον | 14 μηγε r | 14 ινα > z, γνα A^1? | 14/15 quae inter και 14 et σοδομα 15 media, > z | 14 οι ανδρες εκειθεν cmt | 15 ετι > AD [GR] cz, post ην ponit r | 15 post εστηκως + ινα z | 15 εναντι D^1 teste Grabio, sed „ον additum paullo minoribus literis ad caput literae ι recentiori manu, sed ex antiquis uestigiis": at hunc in modum Tischen-

23 *καὶ ἐγγίσας Ἀβραὰμ εἶπε Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής.* 24 *ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ;* 25 *μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· μηδαμῶς. ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν;* 26 *εἶπε δὲ κύριος Ἐὰν ὦσιν ἐν Σοδόμοις πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀφήσω ὅλην τὴν πόλιν καὶ πάντα τὸν τόπον δι' αὐτούς.* 27 *καὶ ἀποκριθεὶς Ἀβραὰμ εἶπε Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριόν μου, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός.* 28 *ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντήκοντα δίκαιοι εἰς τεσσαρακονταπέντε, ἀπολεῖς ἕνεκεν τῶν πέντε πᾶσαν τὴν πόλιν; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τεσσαρακονταπέντε.* 29 *καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν καὶ εἶπεν Ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα; καὶ εἶπεν Οὐ*

dorfius non putat prima manu emendatum esse. *εναντι* cz | 15 post *κυριου* + *του θεου* mt. ad *κυριου* in margine r adscribitur *του θεου*

1 *ειπεν* Amrt [t^{2} = b] | 1 *συναπολεσης* z | 1/2 *μετ ασεβους* c | 2 *ασσεβης* t | 2 post *εαν* + *δε* r | 2 *ωσιν* Ar | 2/3 *ν̄* r | 3 *δικαιοι εν τη πολει* abcrz, *δικαιοι εις την πολιν* mt, *εν τη πολι* [sic] *δικαιοι* A | 3/4 quae inter *απολεις* 3 et *τοπον* 4 media, > m | 3 *απολεσεις* D [GR] crz | 3 *ανοισης* z | 4 *παντα τον τοπον* > z | 4 *παντα* > A | 4 *τοπον εκεινον ενεκα* D teste Grabio | 4 *ενεκα* c | 4 E iterum incipit syllabis *καιων* uocis *δικαιων* | 4 *ν̄* r | 5 *αυτοις* E | 5 *συ* > c | 5 *ποιησης* ct | 5 *ως* > Ecmz [Dt = b] | 5 *του* > cr | 6 *μετ* c | 6 loco *ως* E *ος* | 7 *μηδαμως*] „Symmachus *ουχι σου*“ b | 7 *πασαν* post *την γην* E [D = b] | 8 *ειπεν* ADErt [t^{2} = b] | 8 ante *κυριος* + *ο* D | 8 post *κυριος* + *ο θεος* mt | 8 *ωσιν* bc, *ωσι* mt, *ευρω* AD [GR] Earz | 8 *εν σοδομοις* > mt | 8 *ν̄* r | 9 *δικαιοι* bcmt, *δικαιους* AD [GR] Earz | 9 post *δικαιοι* + *εν σοδομοις* mt | 9 *εν τη πολει* > c | 9 *ανησω* c | 9 *ολην την πολιν και* > ADEamrtz | 10 *αβρααμ* E post *ειπεν* suum | 10 *ειπεν* ADErt [t^{2} = b] | 11 *ειρξαμην* z | 11 *μου* > ADEcmrt | 12 *ελαττονοθωσιν* E, *ελαττωθωσιν* mr, *ελαττοθωσιν* tz [D = b] | 12 *ν̄* r | 12 *δικαιοι* > E | 12/13 *εις τεσσαρακονταπεντε* abcmtz, *εις σαρακονταπεντε* E, *εις με* r, *πεντε* AD | 13 *απολεσεις* mtz | 13 *πεντε* Ab, *σαρακονταπεντε* E, *τεσσαρακονταπεντε* cmtz, *με* r | 14 ante *ου* + *οτι* ADE | 14 *ου μη απολεσω* > mtz [D = b] | 14 *ευρω* Aabmrtz, *ευρεθωσιν* Ec | 14/15 *τεσσερακονταπεντε* AD [superest *τεσσερακοντ*], *με* r | 15 post *ταπεντε* + *ου μη απολεσω* mtz | 15 in *προσεθηκεν* r post *ο* unam literam radendo deleuit | 16 *δε* >

μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα. 30 *καὶ εἶπε Μή τι,*
κύριε, ἐὰν λαλήσω· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; καὶ
εἶπεν Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τριάκοντα. 31 *καὶ εἶπεν*
Ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον, ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ
εἴκοσι; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ εἴκοσι.
32 *καὶ εἶπε Μή τι, κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ· ἐὰν δὲ*
εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν Οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν
δέκα. 33 *ἀπῆλθε δὲ ὁ κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ,*
19 *καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.* 1 *ἦλθον δὲ*
οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ
τὴν πύλην Σοδόμων. ἰδὼν δὲ Λὼτ ἐξανέστη εἰς συνάντησιν
αὐτοῖς, καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν 2 *καὶ εἶπεν*
Ἰδού, κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ κα-
ταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπε-
λεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. καὶ εἶπαν Οὐχί, ἀλλ' ἐν τῇ πλατείᾳ
καταλύσομεν. 3 *καὶ κατεβιάσατο αὐτούς, καὶ ἐξέκλιναν πρὸς*

DEc, post *ευρεθωσι* suum z | 16 *ευρεθωσι* mtz | 16 *εκει* > mt | 16 *τεσσεραχοντα* AD [superest *σεραχοντα*], *μ* rz | 16/1 *ου μη* Abcz, *ουκ* Eamrt

1 *απολω* a | 1 *ενεκε* t | 1 *τεσσεραχοντα* A, *μ* rz | 1 *ειπεν* ADEmrt [t² = b] | 1/2 „schol *μη δη οργιλον τω κυριω*" b | 2 *εαν λαλησω κυριε* c | 2 *δε* > D [GB] | 2 *λ* rz | 3 *ου μη* Aabcrz, *ουκ* mt | 3 *ενεκεν των* abcmt, *εαν ευρεθωσιν εκει* AEr, *εαν ευρω εκει* z | 3 *λ* rz | 4 post *κυριον* + *μου* mrt | 4 *δε* > Er | 4 *εκει* > E | 5 utroque loco *εικοσιν* m, utroque *κ* rz, altero *κ* t | 5 *εαν ευρω εκει* bc, *ενεκεν των* AD [GB] amrtz, *ενεκεν τον* E | 6 *και ειπε* > m | 6 *ειπεν* AErt [t² = b] | 6 *ετι* > z | 7 *ευρεθωσι* mt | 7 *εκει* > mt | 7 *δεκα εκει* E | 7 *ι* z | 7 *ου μη* Abc, *ουκ* Eamrtz | 8 *ι* z | 8 *απηλθεν* AErt [t² = b] | 8 *ο* > AD [GB] Eamrtz | 8 *κυριος* > r | 9 *και* > z | 9 *αβρααμ* ante *εις* z | 9 *επεστρεψεν* r, *υπεστρεψε δε* z | 9 *ανηλθον* E | 11 *πυλην* Abcmrtz, *πολιν* a | 11 *ειδων* t | 11 *ανεστη* Ac, *εξανεστησεν* E | 12 *προσεκυνησεν* AD [superest *νησεν*] Emrt, *προσεκινησεν* z | 12 ante *τω* + *εν* z | 12 *τω προσωπω*] *επι προσωπον* mt | 13 *εκκλεινατε* A | 13 post *εκκλινατε* + *προς με* mt | 13 *εις* Eabcmrtz, *προς* A | 13/14 quae inter *και* 13 et *υμων* 14 media, > E: in margine suppleta, sed *ατε* uocis *καταλυσατε*, *ατε* uel *ασθε* uocis *νιψατε* (*νιψασθε*), *οδας* uocis *ποδας* nunc perierunt | 13/14 *καλυσατε* A, *τα* prima manu super uersum | 14 *νιψασθαι* z, *νιψατε* Aa | 14 *ορθισαντες* A | 14/15 *απελευσεσθαι* AD [GB] | 15 *εις* > c | 15 post *υμων* + *ου εινεκεν εξεκλινατε προς τον παιδα υμων* Er | 15 *και ειπαν* Eabmt, *ειπαν δε* Ar, *ειπον δε* cz | 15 *αλλα* Emt | 15 post *αλλ* + *η* A | 16 *καταλυσωμεν* Ez [D = b] |

αὐτόν. καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ· καὶ ἐποίησεν αὐτοῖς πότον καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον. 4 πρὸ τοῦ κοιμηθῆναι δὲ οἱ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα. 5 καὶ ἐξεκαλοῦντο τὸν Λὼτ καὶ ἔλεγον πρὸς αὐτὸν Ποῦ εἰσὶν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς. 6 ἐξῆλθε δὲ Λὼτ πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέῳξεν ὀπίσω αὐτοῦ. 7 εἶπε δὲ πρὸς αὐτοὺς Μηδαμῶς, ἀδελφοί, μὴ πονηρεύσησθε. 8 εἰσὶ δέ μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα· ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς καθὰ ἂν ἀρέσκοι ὑμῖν· μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου. 9 εἶπαν δὲ αὐτῷ Ἀπόστα ἐκεῖ· εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σὲ κακώσωμεν μᾶλλον

16 *κατεβιασατο* Ebc, *παρεβιαζετο* A, *κατεβιαζετο* D [GB] amrt, *κατεβιαζεν* z | 16 post *αυτους* + *σφοδρα* r | 16 *εξεκλειναν* AD [superest *εξεκλει*]

1 *ηλθον* r | 1 *τον οικον* Eabmtz, *την οικιαν* Acr | 1 *αυτοις* radendo ex *αυτους* factum t | 2 *τοπον* loco *ποτον* a | 2 *αζυμοις* tz | 2 *επεμψεν* Eatz [D = b] | 2 punctum post *εφαγον* positum non agnoscunt ADEamrtz | 2/3 *κυμηθηναι* m. post *κοιμηθῆναι* + *αυτους* r | 3 *δε* bc, *και* AD [GB] Eamrtz | 3 *σοδομειται* AE, *σοδομηται* z | 3/4 *εκυκλωσαν* c | 4/5 quae inter *την* 4 et *καὶ ἔ* 5^{md} media, prima manu in margine r | 4 *πρεσβυτου* c | 4 *απας* AEabmrtz, *πας* c | 4 in *λαος* nunc *ο* madore deletum in m | 5 *εξεκαλουντο* AEabmrtz, *προσεκαλουν* c | 5 *ελεγον* AEabmrtz, *ειπον* c | 6 *οι ανδρες* > a | 6 *ελθοντες* mt | 6 *την* > a | 7 *υμας* b errore typographi | 7 *εξηλθεν* AErt [t^2 = b] | 8 *προς αυτους λωτ* r | 8 *προς αυτους* > c | 8 *προς το προθυρον* > A | 8 *την δε θυραν* Eabcmrtz, *και την θυραν* A | 8/9 *προσοξεν* E, *προσεαξεν* z | 9 *αυτων* D teste Grabio | 9 *ειπεν* AEr[?]t [t^2 = b] | 9 *προς αυτους* AEabz, *αυτοις* cmrt | 9/10 ante *αδελφοι* + *ανδρες* c | 10 *πορευεσθε* a, *πονηρευησθε* c, *πονηρευεσθε* mrt, *πονηρευεσθαι* z | 10 *εισιν* AEr | 10 *δυο* > a | 10 *θυγατεραις* m compendio scriptum | 11 *ανδρας* mrtz | 11 *εξαξω* Aabcmrtz, *και αξω* E | 11 *χρησασθαι* A, *χρισασθαι* z, *χρησασθε* D [GB] r, *χρασθαι* E | 11 *αυταις* Aabcrt, *αυτας* Emz | 12 *καθο* D [GB] rz, *καθ ο* c | 12 *αν* > Az | 12 *αρεσκη* AD [GB] Ert, *αρεσκει* amz | 12 *ανδρας* Aabcmrtz, *ανθρωπους* D teste Grabio | 13 *ποιησατε* z | 13 ante *αδικον* + *μηδεν* Arz, + *μηθεν* mt | 13 *ενεκεν* c | 13 *σκεπην* bcrz, *στεγην* AD [GB] Eamt | 14 *ειπον* Emrtz | 14 *αυτῳ* > AD [GB] Eamrtz | 14 post *εκει* + *και ειπαν* r | 15 *και* > m | 15 *κρισην* t^1 [t^2 = b], *νομους* r | 15 *κρινειν* Eabcmrtz, *κριναι* A | 15 *κακωσομεν* Aacmrt, *κακοσωμεν* E

ἢ ἐκείνους. καὶ παρεβιάζοντο τὸν ἄνδρα τὸν Λὼτ σφόδρα, καὶ ἤγγισαν συντρίψαι τὴν θύραν. [10] ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν· [11] τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἐν ἀορασίᾳ, ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν. [12] εἶπαν δὲ οἱ ἄνδρες πρὸς τὸν Λὼτ Εἰσί σοι ὧδε γαμβροὶ ἢ υἱοὶ ἢ θυγατέρες, ἢ εἴ τις σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει, ἐξάγαγε ἐκ τοῦ τόπου τούτου· [13] ὅτι ἡμεῖς ἀπόλλυμεν τὸν τόπον τοῦτον, ὅτι ὑψώθη ἡ κραυγὴ αὐτῶν ἔναντι κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς κύριος ἐκτρίψαι αὐτήν. [14] ἐξῆλθε δὲ Λὼτ καὶ ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ καὶ εἶπεν Ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει κύριος τὴν πόλιν. ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ. [15] ἡνίκα δὲ ὄρθρος ἐγένετο, ἐσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες Ἀναστὰς λάβε τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας σου, ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις

1 *τον ανδρα* > mt | 2 *ηγγεισαν* A | 2 *θυρα* E | 3 *επεσπασαντο* Er. „Iustinus pro *εισεσπασαντο* legit *επιασαν*“ b | 3/4 *εις τον οικον προς εαυτους* c | 3/4 *εις τον οικον* > mt | 4 *τας θυρας* z | 4 *οικου* Aabcmrtz, *τοιχους* E | 5 *οντας* > r | 5 *την θυραν* m | 5 *του οικου* > c | 5 *οικου* Aabcmrtz, *τοιχου* [sic] E | 5 *εν* > AD [GR] Eamrtz | 7 *θυρα* E | 7 *ειπον* cmtz [D = b] | 7 *τον* > AD [GR] Emrtz | 7 *εισι* bc, *εστιν τις* AEmt, *εστιν* D [GR] r, *εστι τις* at[2]z, in margine t *εισι τινες* | 8 *γαμβρος* Ez [D = b] | 8 *υοι* r | 8 *η ητις* A, *η τις* E | 9 post *εξαγαγε* + *αυτους* Emtz [D = b] | 9 *εκ* > mt | 9/10 *απολλυμεν ημεις* ADEcmrtz | 10 *αυτην* z | 11 *εναντιον* ADEr, *ενωπιον* c | 11 *ημας* E [non D] post *εκτριψαι* ponit | 11 post *κυριος* + *ο θεος* z | 11 *εντριψαι* a | 12 *εξηλθεν* AErt[1] | 12 *ελαλησεν* AD [superest *σεν*] Er | 14 *εξελθατε* ADEm | 14 *εκτριψει* c | 15 *εδοξεν* AD [superest *οξεν*] E | 15 *δε* > z | 15 *εναντιον* ADabmrtz, *με αντι* E, *ενωπιον* c | 15 *ηνικα* AEabmrtz, *ως* c | 16 *εγινετο* ADt | 16 *επεσπουδαζον* AD [superest *επεσπου*] tz | 16 *αγγελοι* abcr. *αγγελοι τον λωτ λεγοντες* in A *α* primum et *τες* in corio intacto habet. quae *α* illud primum sequebantur literae septem [incluso *τ* uocis *τον*] nunc euanuerunt in rasura. post *ν* uocis *λεγοντες* literae unius rasura, ut et *λεγον* in rasura scriptum | 17 *παραλαβε* c | 17 *δυο* et *σου* > D teste Grabio: quum in D nunc ante *ας εχεις* supersit *σ*, clarum *σου* alterum non adfuisse. *σου* alterum > Emrtz, *δυο* et *σου* alterum > c | 18 post *εχεις* + *ενταυθα* r | 18 *και συ* > Acmtz | 18 *συ* > r | 18 *απολη* E, *συναπολλοι* z

τῆς πόλεως. [16]καὶ ἐταράχθησαν, καὶ ἐκράτησαν οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ καὶ τῶν χειρῶν τῶν δύο θυγατέρων αὐτοῦ ἐν τῷ φείσασθαι κύριον αὐτοῦ. [17]καὶ ἐγένετο, ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω, καὶ εἶπαν Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς. [18]εἶπε δὲ Λὼτ πρὸς αὐτοὺς Δέομαι, κύριε, [19]ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπ᾽ ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μήποτε καταλάβῃ με τὰ κακά, καὶ ἀποθάνω. [20]ἰδοὺ πόλις αὕτη·ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἥ ἐστι μικρά· καὶ ἐκεῖ διασωθήσομαι. οὐ μικρά ἐστι; καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ. [21]καὶ εἶπεν αὐτῷ Ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας· [22]σπεῦσον οὖν τοῖ σωθῆναι ἐκεῖ· οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα ἕως τοῦ ἐλθεῖν σε ἐκεῖ.

1 εταραχθησαν] „Aquila εμελλησεν. schol εστρατευσατο“ b | 2 initio τας χειρας z | 2 αυτου prius DEabcmrtz, αυτων A | 2 της χειρος alterum > E | 2/3 της χειρος loco των χειρων D [superest της] | 3 δυο > Emt [non D] | 3 post κυριον + τον θεον mt [non D] | 4 αυτω E | 4 post αυτου + και εξηγαγοσαν αυτον και εθηκαν αυτον απεξω της πολεως r | 4 εγενετο ηνικα > r | 4 post ηνικα + και t | 4 εξηγαγοσαν r, εξηγαγεν z | 4 αυτους Aabcmrtz, αυτον E | 4 εξω > z | 4 post εξω + της πολεως D [GR: superest πολεως] | 4 ειπον crtz | 5 σωζων > r | 5 περιβλεψης AEcz, βλεψη a | 6 περιχορω m | 6/7 post μηποτε + μη z | 7 συνπαραλημφθης A, συμπαραλημφθης DE, συμπαραληφθεις mz | 7 ειπεν AErt [t² = b] | 7 δαιομε A | 8 κυριοι z | 8 ευρον c | 8 ελεος AEabmrtz, χαριν c | 8 σου alterum] υμων z | 9 ο ποιεις Aabcmt, ου ποιησεις E, ο ποιησεις r, ο ποιης z | 9 επ] εις z | 9 ζην AEabmrtz, ζησαι c. „schol του ζωωσαι“ b | 10 σωθηναι c | 11 μηποτε bz, μη AD [GR] Eacmrt | 11 καταλαβει z | 11 post ιδου + η AD [GR] Eamrtz | 11 πολεις A | 12 εστιν ADE | 12 και > ADEarz | 12 εκει alterum > c, ante ου 13 ponit r | 12/13 „ita latina uetus editio. in AA LL ου μικρα εστι sine nota interrogationis. Philo μικραν τε και ου μικραν την πολιν ταυτην οι χρησμοι διασυνιστασιν“ b | 13 σωθησομαι AEacrz | 13 μακρα z | 13 εστιν ADEmt [t² = b] | 14 ενεκεν σου > Dr | 14 σου alterum > r | 14/15 „Symmachus ορασει εδυσωπηθην το προσωπον σου. Aquila ηρα το προσωπον σου“ b. in margine r ακυ ἴδοὺ ἦρα πρόσωπον σου: συ ὁράσει ἐδυσωπήον [sic] προσωπόν σου: | 15 post σωπον + σου r | 15 και > a | 15 ῥήματη r | 15 τουτο z | 16 ελαλησε z | 16 ουν > mt [non D] |

διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγώρ. 23 *ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ,* 24 *καὶ κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου ἐξ οὐρανοῦ,* 25 *καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίχωρον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς.* 26 *καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός.* 27 *ὤρθρισε δὲ Ἀβραὰμ τῷ πρωὶ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον κυρίου,* 28 *καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας καὶ ἐπὶ πρόσωπον τῆς περιχώρου, καὶ εἶδε· καὶ ἰδοὺ ἀνέβαινεν φλὸξ ἐκ τῆς γῆς ὡσεὶ ἀτμὶς καμίνου.* 29 *καὶ ἐγένετο ἐν τῷ ἐκτρίψαι τὸν θεὸν πάσας τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξα-*

17 ante *ποιησαι* + *του* Da | 17 *του ελθειν σε* abc, *του σε ελθειν* Ar, *ου εισελθης* D [GR: superest *εισελθης* ante *εκει*], *του σε εισελθειν* Emtz

1 *εκαλεσεν* DErt [t² = b], *επωνομασεν* A | 1 *της πολεως* > z | 1 *εκεινης* > D | 1 *σιγωρ* az, *συγωρ* c. in commentario m: *Σηγωρ ερμηνευεται μικρα βραχεια. ταυτην αλλαχου η γραφη ζωγωρα καλη. ο δε συρος ζαρὴ και βαλα, τουτεστι καταπιουσα. διο φασι τινες οτι ου κατεκαησαν, αλλα κατεποθησαν κτέ.* in margine r *βραχεῖα μικρά* | 2 *σιγωρ* az | 3 post *κυριος* + *ο θεος* E | 3 *εβρεξε* z [sic] | 3 *πυρ και θειον* m, sed prima manu literis *α* et *β* superscriptis in nostrum ordinem redactum | 4 *παρα κυριου* > z | 4 *εξ ουρανου* bc, *εκ του ουρανου* AD [superest *εκ του ουρα*] Eamrtz | 4 *κατεστρεψεν* AD [superest *ατεστρεψεν*] Er | 4 ante *τας* + *πασας* mt | 4 *πολις* t | 4/5 post *ταυτας* + *εν αις κατωκει εν αυταις λωτ* A: loco *ταυτας* D teste Grabio *πασας*. ut D etiam E | 5 *την περιχωρον* bcm, *περιοικον* [sine articulo] A, *την περιοικον* DEar | 6 *πολεσιν* A? lineola *ν* significans una cum *εσι* nunc euanidis euanuisse potuerit. *πολεσιν* D [superest *σιν*] Ecrt [t² = b] | 6 *και* prius > a | 6 ante *τα* + *παντα* ADEamt | 6 *τα ανατελλοντα*] *παν ανατελλον* z | 6 *εκ της γης* > E, qui: ponit. *επι της γης* c | 7 *αυτου* > E, *του λωτ* z | 8 sqq commata 27 28 29 „desunt“ in D | 8 *ωρθρισεν* Art [t² = b], *ορθρισεν* E, *ορθρισε* m | 8 *τῳ* ab, *τω* mr, *το* AEctz | 9 *ιστηκει* AEm, *εστηκει* c | 9 ante *εναντιον* + *εκει* E | 9 *εναντι* cz | 10 *γομορρων* c | 10 post *επι* + *παν* r | 10 post *προσωπον* + *της γης* Aarz, + *πασης της γης* E, + *πασης της γης εκεινης* mt | 11 *ιδεν* AE, *ειδεν* mrt [t² = b] z | 11 *ανεβαινεν* Abrt, *ανεβεννεν* E, *ανεβαινε* amt²z, > c | 11 *εκ* > AEmt | 11 *ωση* E, *ως* c | 11/12 *καμεινου* A | 12 *τον θεον* bcr, *κυριον* Aamtz, > E | 13 *πολις* E¹ | 13 *περιχωρου* mt | 13 post *εμνησθη* + *δε* c | 13 *ο θεος* Aabcrz, *κυριος* mt | 13/1 *εξαπεστειλεν* AEr

πέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς, ἐν τῷ καταστρέψαι κύριον τὰς πόλεις, ἐν αἷς κατῴκει ἐν αὐταῖς Λώτ. [30]ἀνέβη δὲ Λὼτ ἐκ Σηγώρ, καὶ ἐκάθητο ἐν τῷ ὄρει, αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ· ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σηγώρ· καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ' αὐτοῦ. [31]εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν Ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ· [32]δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶμεν μετ' αὐτοῦ καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα. [33]ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νυκτὶ ἐκείνῃ· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ ἐν τῷ ἀναστῆναι. [34]ἐγένετο δὲ ἐν τῇ ἐπαύριον, καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν Ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν αὐτὸν οἶνον καὶ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς

1/2 εκτριψαι mt | 2 κυριον > c | 2 post κυριον + τον θεον E | 2 τας πολεις > z | 3 ανεβη δε Ebmrtz, και εξηλθεν A, και εξηλθε a, εξηλθε δε c | 3 εν loco εκ Ez | 3 σιγωρ a | 3 αυτος > AD [GR] a, habent Ebcmtz | 4 θυγατεραις m | 4 μετ αυτου > z | 4 ante εφοβηθη + εν τω ορει z | 4 εφοβηθησαν mt | 4 εφοβηθη usque ad finem commatis > D teste Grabio, quem uera testatum esse spatium superstes docet. εφοβηθη usque ad σηγωρ 5 prima manu serius addita in r | 4/5 οικησαι Ez | 5 εν prius AEabcmtz, εις r | 5 σιγωρ az | 5 ωκησεν Amrtz, ῳκησεν a, ωκοδομησεν E | 6 δυο > amt | 6 θυγατεραις E¹z | 6 ειπεν AErt [t² = b] | 7 νεωτερα A | 8 επι AEbcmrtz, εκ a | 8/9 καθηκε z | 9 και Ebcmrtz, ουν Aa | 9 ποτησωμεν m | 11 εποτησαν m | 12 εν > r | 12 εκεινῃ bc, εκεινη rz, ταυτη ADEm, ταυτῃ a, ταυτηι t | 13 εν τῃ νυκτι εκεινῃ > D teste Grabio, την νυκτα εκεινην AEamrt | 13 εν > z | 14 ηδει Aabcrz, ηιδει mt, εγνω D teste Grabio [?] | 14 αυτον bc, αυτην AD [superest την] Eamrtz | 14 και] ἢ mt | 14 εν τω alterum > ADEacrz contra bmt | 14/15 εγενετο δε > z | 15 εν > AD [GR] Eamrz | 15 ante τῃ + και z | 15 και > z | 15/16 προς την νεωτεραν] τηι νεωτερα m, την νεωτερα t¹, τῃ νεωτερα t² | 16 post ιδου + εγω z | 16 in εκοιμηθην post ε litera radendo deleta t | 16 εχθες AD [GR] Er | 16/17 ποτησωμεν m | 17 εν τῃ νυκτι ταυτῃ bc, τηι νυκτι ταυτη m, την νυκτα ταυτην AD [GR] Eartz. m^mg γρ και την νυκτα ταυτην manu ut uidetur secunda | 17 post εισελθουσα + την υκτα [prima manu ν super uersum additum] ταυτην r | 18 εξαναστησομεν a | 18/1 σπερμα εκ του πατρος ημων E

ἡμῶν σπέρμα. 35 *ἐπότισαν δὲ καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ τὸν*
πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη
μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐ-
τὸν καὶ ἀναστῆναι. 36 *καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ*
ἐκ τοῦ πατρὸς αὐτῶν. 37 *καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱόν, καὶ*
ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ λέγουσα Ἐκ τοῦ πατρός μου·
οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. 38 *ἔτεκε*
δὲ καὶ ἡ νεωτέρα υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμὰν
λέγουσα Υἱὸς γένους μου· οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς
20 *σήμερον ἡμέρας.* 1 *καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς*
λίβα, καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σούρ· καὶ
παρῴκησεν ἐν Γεράροις. 2 *εἶπε δὲ Ἀβραὰμ περὶ Σάρρας τῆς*
γυναικὸς αὐτοῦ ὅτι ἀδελφή μου ἐστίν· ἐφοβήθη γὰρ εἰπεῖν
ὅτι γυνή μου ἐστί, μήποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες
τῆς πόλεως δι' αὐτήν. ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γε-
ράρων καὶ ἔλαβε τὴν Σάρραν. 3 *καὶ εἰσῆλθεν ὁ θεὸς πρὸς*

1 *και* > c | 1 *εν* > z | 2 *αυτον* E^1, *ω* super uersum scriptum | 3 post *αυτης* + *την νυκτα εκεινην* r, + *τη νυκτι εκεινη* z | 3 *ηδει*] *εγνω* D [GR], *ηδειν* z | 3/4 *αυτην* AD [GR] Eamrtz | 4 *αι δυο θυγατερες λωτ* c post *αυτων* 5 | 4 *θυγατεραις* z | 6 *εκαλεσεν* AErt | 6 *αυτον* a [sic] | 6 ad *μωαβ* r^{mg} *εκ πατρος μου η υδωρ πατριον* | 6 post *μου* + *ουτος* mt | 7/8 *και η νεωτερα δε ετεκεν* r | 7 *ετεκεν* AD [superest *ν* ante *δε*] Ect^1 [t^2 = b] | 8 *και* prius > t | 8 *εκαλεσεν* AD [superest *εν* ante *το*] Ert [t^2 = b] | 8 *αμμον* c, *αμμων* r [qui in margine *λαος ημων*], *αμαν* z | 9 *λεγουσα* > AD [GR] Eacr | 9 ante *υιος* + *ο* A | 9 *υιον* E | 9 post *υιος* + *του* ADEamrtz | 9 *γενου* r | 9 post *μου* + *λεγουσα* a | 9 *αμμονιτων* c [Drz = b]. in commentario r *Οι αμμανιται και αυτοι της αραβιας εκρατησαν τα μερη φιλαδελφιας. ητις αμμων καλειται παρα των επιχωριων* | 10 *εκεινησεν* AE | 10 *αβρααμ εκειθεν* c | 10 *εις γην* > c, *εις την* r | 10 *προς* Aabcmrtz, *εως* E | 11 *λιβαν* z | 11 ad *καδης* r^{mg} *αγιον*, ad *σουρ* idem *τειχος η ευθυσμος* | 11 *καδδης* z | 12 *γαραροις* z | 12 post *γεραροις* r in commentario *Ουτοι* [sed qui?] *της αραβιας κατεσχον τας αμφι την καλουμενην αρεοπολιν. ητις ην μητροπολις το παλαιον του μωαβιτων εθνους* | 12 *ειπεν* AD [superest *εν* ante *δε*] Emrt [t^2 = b] | 12 *αβραμ* D | 13 *οτι* > DEamt | 13/15 quae inter *εφοβηθη* 13 et *αυτην* 15 media, > rz | 14 *οτι* > D [GR] Ea [habet hoc loco m] | 14 *εστιν* AD [superest *ν* ante *μηποτε*] Emt [t^2 = b] | 14 *αποκτενουσιν* at, *ἀποκτενᾶσιν* m | 15 *απεστειλεν* AD [superest *στειλεν* ante *δε*] Ert [t^2 = b] | 15 ad *αβιμελεχ* r^{mg} *πατρος μου βασιλεια* | 15/16 *γαγαραρων* E. in *γεραρων* ante *ω* litera

Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα καὶ εἶπεν Ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς ἧς ἔλαβες· αὕτη δὲ ἐστὶ συνῳκηκυῖα ἀνδρί. [4]Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς, καὶ εἶπε Κύριε, ἔθνος ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς; [5]οὐκ αὐτός μοι εἶπεν Ἀδελφή μου ἐστί; καὶ αὕτη μοι εἶπεν Ἀδελφός μου ἐστίν; ἐν καθαρᾷ καρδίᾳ καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο. [6]εἶπε δὲ αὐτῷ ὁ θεὸς καθ' ὕπνον Κἀγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, καὶ ἐφεισάμην σου, τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ· ἕνεκα τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς. [7]νῦν δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ· εἰ δὲ μὴ ἀποδίδως, γνώσῃ ὅτι ἀποθανῇ σὺ καὶ πάντα τὰ σά. [8]καὶ ὤρθρισεν Ἀβιμέλεχ τῷ πρωὶ καὶ ἐκάλεσε πάντας τοὺς παῖδας αὐτοῦ, καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν· ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα. [9]καὶ ἐκάλε-

radendo deleta r. r[mg] φραγμος | 16 ελαβεν ADErt [t[2] = b] | 16 σαρρα r | 16 ηλθεν r

1 εν υπνῳ > cr | 1 υπνιω m, ενυπνιωι t [εν in utroque praemittitur] | 1 post υπνῳ + αυτου z | 1 post ειπεν + αυτω Aa [non D] | 1 συ > Ez, post αποθνησκεις ponit c | 2 η r | 2 εστιν ADEt [t[2] = b] | 2 συνωκυια z | 3 „inde a uersu 4 usque ad 21, 3 desideratur“ D | 3 ειπεν AEmrt [t[2] = b] | 3 post κυριε + ο θεος mt | 4 απολεις AEabm, απολεσεις r, ουκ αποκτενεις c | 4 ειπεν μοι r | 4 et 5 post ειπεν + οτι E | 5 initio εστιν AEcmrt [t[2] = b] | 5 και αυτη μοι ειπεν αδελφος μου εστιν > r | 5 εν] εκ z sequentibus non mutatis | 5/6 loco quo pertineat adcuratius non indicato r[mg] ἀκυ συνάπλοτητ συ συναγαθοπ [π super ο scriptum] | 6 εν > cmt | 6 ειπεν AEmrt [t[2] = b] | 7 αυτῳ > az | 7 καθ υπνον > mt | 7 υπνου z | 7 καγω] καιγε εγω z | 7 καθαρᾳ omiserat E, qui inter scribendum post καρδια post finem unius et ante initium uersus sequentis addidit | 8 εποιησα A[1], prima manu correctum | 8 εφησαμην E | 8 post εφεισαμην + εγω Aar | 8 post σου + εγω mt. σου bis scribit z | 8 αμαρτειν σε AEabmt, αμαρτησαι c, αμαρτανειν [sine σε] r, αμαρτανειν σε z | 9 ενεκεν AEmrtz | 9 post σε + του c | 9 νυνι mt | 10 εστιν AErt[1] [cum taedeat semper referre t[2] radendo idem habere quod b, semel dixisse sufficiat, ubicumque t[1] positurus sum, t[2] cum b conuenire] | 11 ζησει E, ζησεις c | 11 αποδως cmt | 11 γνωθι Acmrz, γνωθη Et | 12 οτι > z | 12 αποθνησκεις a | 13 τῳ ab, τω mr, το AEctz | 13 εκαλεσεν AEr | 14 ελαλησεν AEr | 14 ante παντα + κατα c | 15 ανθρωποι AEabr, ανδρες cmtz | 15 ante σφοδρα + τον κυριον mt, + τον θεον r | 15/1 in εκαλεσεν ante α rasura unius literae capax t

σεν Ἀβιμέλεχ τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ Τί τοῦτο ἐποίησας ἡμῖν; μήτι ἡμάρτομεν εἰς σέ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον, ὃ οὐδεὶς ποιήσει, πεποίηκάς μοι. [10] εἶπε δὲ Ἀβιμέλεχ τῷ Ἀβραὰμ Τί ἐνιδὼν ἐποίησας τοῦτο; [11] εἶπε δὲ Ἀβραάμ Εἶπα γάρ Ἄρα οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ἐμέ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου. [12] καὶ γὰρ ἀληθῶς ἀδελφή μου ἐστὶν ἐκ πατρός, ἀλλ' οὐκ ἐκ μητρός· ἐγενήθη δὲ μοὶ εἰς γυναῖκα. [13] ἐγένετο δὲ ἡνίκα ἐξήγαγέ με ὁ θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ εἶπα αὐτῇ Ταύτην τὴν δικαιοσύνην ποιήσεις εἰς ἐμέ, εἰς πάντα τόπον, οὗ ἐὰν εἰσέλθωμεν ἐκεῖ, εἰπὸν ἐμὲ ὅτι Ἀδελφός μου ἐστίν. [14] ἔλαβε δὲ Ἀβιμέλεχ χίλια δίδραγμα καὶ πρόβατα καὶ μόσχους καὶ παῖδας καὶ παιδίσκας, καὶ ἔδωκε τῷ Ἀβραάμ· καὶ ἀπέδωκεν αὐτῷ Σάρραν τὴν γυναῖκα αὐτοῦ. [15] καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἀβραὰμ Ἰδοὺ ἡ γῆ μου ἐναντίον σου· οὗ ἂν σοι ἀρέσκῃ, κατοίκει. [16] τῇ δὲ Σάρρᾳ εἶπεν Ἰδοὺ δέδωκα χίλια δίδραγμα τῷ ἀδελφῷ σου· ταῦτα ἔσται σοι εἰς τιμὴν τοῦ προσώπου σου καὶ πάσαις ταῖς μετὰ σοῦ, καὶ πάντα ἀλήθευσον. [17] προσηύξατο δὲ Ἀβραὰμ πρὸς τὸν θεόν, καὶ ἰάσατο ὁ θεὸς τὸν

1/2 „Aquila τι ειδες οτι εποιησας συ το ρημα τουτο; Symmachus τι ιδων εποιησας το πραγμα τουτο; Theodotio τι εωρακας οτι εποιησας τον λογον τουτον;" b | 2 ημιν AEabmrtyz, μοι c | 2 ημαρτον c | 2 επηγαγες AEabmrtz, εποιησας c | 4 ουθεις c | 4 ποιησει AEabmrtz, πεποιηκεν c | 4/5 ειπε δε αβιμελεχ τω αβρααμ > z | 4 ειπεν AEmrt¹ | 5 πεποιηκας m | 5 τουτο] το ρημα r | 5 ειπεν AEmrt¹ | 6 αρα AEbcmt, μηποτε arz | 6 εστιν AErt¹ | 6 τοῦτο mz | 6 τε Aabcrz, δε Emt | 7 αληθως > r | 8 εκ alterum A ε, sed prima manu κ super uersum | 9 post μοι + και a | 9 δε alterum > E | 9 εξηγαγεν AEr | 9 ο θεος] κυριος z | 10 ειπον z | 11 ποιησεις εις bcmt, ποιησον επ A, ποιησεις επ Earz | 11 εαν AEabrtz, αν c, > m | 12 εκει cum ειπον coniungit a | 12 ειπε z | 12 εμε] περι εμου mt | 12 οτ E [sic] | 12 ελαβεν AErt¹ | 13 διδραγμα abrt, διδραχμα AEcmz | 13 και primum > AEamrt | 13 και tertium > amtz | 14 εδωκεν AErt¹ | 14 αβραμ A | 14 post απε uocis απεδωκεν folia quaedam absunt ab E | 15 post ειπεν + αυτω z | 15/16 αβιμελεχ τω αβρααμ > z | 16 γη μου] γυνη σου rz | 16 μου > a | 16 ante οὗ + εστιν z | 16 αν abr, εαν Acmtz | 16 αρεσκει z | 17 κατωκει z | 17 τη δε Aabmrt, και τη c, και τη z | 17 χιλια διδραχμα suum c post σου 18 | 17 διδραγμα abrt, διδραχμα Acmz | 18 ταυτα > m | 18 εστω t | 18 σοι εσται c | 20 και ιασατο

Ἀβιμέλεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς παιδίσκας αὐτοῦ,
καὶ ἔτεκον· [18]ὅτι συγκλείων συνέκλεισε κύριος ἔξωθεν πᾶσαν
μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ ἕνεκεν Σάρρας τῆς γυναικὸς
Ἀβραάμ. [1]καὶ κύριος ἐπεσκέψατο τὴν Σάρραν καθὰ εἶπε· 21
καὶ ἐποίησε κύριος τῇ Σάρρᾳ καθὰ ἐλάλησε. [2]καὶ συλλα-
βοῦσα ἔτεκε τῷ Ἀβραάμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρὸν
καθὰ ἐλάλησεν αὐτῷ κύριος. [3]καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ
ὄνομα τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου αὐτῷ, ὃν ἔτεκεν αὐτῷ
Σάρρα, Ἰσαάκ· [4]περιέτεμε δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τῇ ἡμέρᾳ
τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο αὐτῷ ὁ θεός. [5]καὶ Ἀβραὰμ ἦν
ἑκατὸν ἐτῶν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ. [6]εἶπε
δὲ Σάρρα Γέλωτά μοι ἐποίησε κύριος· ὃς γὰρ ἂν ἀκούσῃ,
συγχαρεῖταί μοι. [7]καὶ εἶπε Τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ ὅτι
θηλάζει παιδίον Σάρρα, ὅτι ἔτεκον υἱὸν ἐν τῷ γήρᾳ μου;

ο θεος τον > z, qui in horum loco, sequentibus non mutatis, *περι* sufficit | 20 *ο θεος* > m

1 ante *τας* + *πασας* c | 1 post *αυτου* alterum + *και παντα τα κτηνη αυτων* c, + *και ολον τον οικον αυτου* rz | 2 *συγκλειων* > A | 2 *συνεκλεισεν* Acmrt | 2 *κυριος* Aabrz, *ο θεος* cmt | 2 *εξωθεν* > mt | 2 post *πασαν* + *την* a | 3 post *οικω* + *του* Amrt | 4 post *κυριος* + *ο θεος* mt | 4 *την* > r | 4 *ειπεν* Art[1]z | 5 *εποιησεν* Art[1] | 5 post *κυριος* + *ο θεος* mt | 5 *την σαρραν* ct | 5 *καθως* m | 5/6 quae inter *καθα* 5 et *καιρον* 6 media, > r | 5 *ελαλησεν* At[1] | 5/6 post *συλλαβουσα* + *σαρρα* mt | 6 *ετεκεν* Amt[1] | 6 ante *τω* + *σαρρα* Aaz | 6 *το* > m[1], prima manu super uersum additum | 6 *εις τον καιρον* > z | 6 *καιρων* b, manu correctum | 7 post *κυριος* + *ο θεος* mtz | 7 *εκαλεσε* c | 7 *αβρααμ* > c | 8 *του υιου* > z | 8/9 *του γενομενου αυτω ον ετεκεν αυτω σαρρα* > z | 8 *του* alterum > a | 8 *ετεκε* A [sic] | 9 post *ισαακ* prius + *και* z | 9 *περιετεμεν* ADrt[1]z | 9 *δε* > z | 9 *αβρααμ τον ισαακ*] *αυτον* z | 9 post *ισαακ* alterum + *υιον αυτου* D [GR] r, + *τον υιον αυτου* mt | 9/10 *τη ημερα τη ογδοη* D [superest *ρα τη ογδοη*] bc, *τη ογδοη ημερα* Az, *τηι ογδωηι ημερα* m, *τη η ημερα* r, *τηι ογδοηι ημεραι* t, *τη ογδοη ημερα* az | 10 *ενετειλατο*] *ελαλησεν* z | 10 *ο θεος* Aabr, *κυριος* cz, *κυριος ο θεος* mt | 10 *και αβρααμ* bc, *αβρααμ* a, *αβρααμ δε* Amtz, *και ην αβρααμ* r | 10/11 *ην εκατον ετων* Aab, *η ετων εκατον* D, *ην ετων εκατον* cmt, *ην ετων ρ* z, *ρε ετων* r | 11 *γεγονεν* c | 11 *ειπεν* AD [superest *εν* ante *δε*] rt[1] | 12 *μοι* > Dr | 12 *εποιησεν* ADrt[1] | 12 ante *κυριος* + *μοι* D [GR] r | 12 post *κυριος* + *ο θεος* mt | 12 *γαρ* > mt | 12 *αν* Dbcmrt, *εαν* A, > az | 13 *συγχαρειτε* Dt, *συγχαρητε* z | 13 *ειπεν* ADmrt[1] | 13 *τω* > mt | 13/14 *οτι θηλαζει παιδιον σαρρα* rz post *μου* 14 | 14 *ετεκεν* r | 14 *υιον* > r | 14 *τω* > z | 14 *γηρει* ADmtz

[8]*καὶ ηὐξήθη τὸ παιδίον καὶ ἀπεγαλακτίσθη· καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.* [9]*ἰδοῦσα δὲ Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς,* [10]*καὶ εἶπε τῷ Ἀβραὰμ Ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ.* [11]*σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ.* [12]*εἶπε δὲ ὁ θεὸς τῷ Ἀβραὰμ Μὴ σκληρὸν ἔστω ἐναντίον σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης· πάντα, ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς· ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.* [13]*καὶ τὸν υἱὸν δὲ τῆς παιδίσκης ταύτης εἰς ἔθνος μέγα ποιήσω αὐτόν, ὅτι σπέρμα σόν ἐστιν.* [14]*ἀνέστη δὲ Ἀβραὰμ τὸ πρωί, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκεν τῇ Ἄγαρ· καὶ ἐπέθηκεν ἐπὶ τὸν ὦμον αὐτῆς τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν. ἀπελθοῦσα δὲ ἐπλανᾶτο κατὰ τὴν ἔρημον, κατὰ τὸ φρέαρ τοῦ ὅρκου.* [15]*ἐξέλιπε δὲ τὸ ὕδωρ ἐκ τοῦ ἀσκοῦ, καὶ ἔρριψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης·* [16]*ἀπελθοῦσα δὲ ἐκάθητο ἀπέναντι αὐτοῦ μακρόθεν ὡσεὶ τόξου βολήν· εἶπε γὰρ Οὐ*

1 *ηυξηνθη* z | 2 *μεγαλην* > r | 2 *η ημερα*] *εν ημερα η* r | 3 comma 9 et quatuor prima uocabula 10 bis scripta in r | 3 uix crediderim *αγαρ* umquam adfuisse in D | 4 *τω* > a | 4 „Acacius *μηποτε το παιζειν αντι της μαχης και διωξεως ειρηται;*“ b | 5 *αυτης* abcmrt, *εαυτης* A, *αυτου* z | 5 *και* > mrtz | 5 *ειπεν* Amrt[1] | 6 *ταυτην* > cmt | 6 in *τον υιον* ante *ν* litera una radendo deleta t, *τω υιω* z | 6 *μη* > Dz | 6 *κληρονομηση* mrt[2] | 7 *ταυτης* > Aac, habent Ɒbmrtz | 8 *σφοδρα* > r | 9 post *αυτου* + *ισμαηλ* Aac | 9 *ειπεν* Amrt[1] | 9 *εσται* z | 9 post *εστω* + *το ρημα* Amrtz | 10 *παιδος* z | 10 *περι* alterum > D [GR] m [habet etiam t] rz | 11 *αν* abcmtz, *εαν* ADr | 11 *ακουση* m, *ακουσης* t, *ακουσον* z | 13 *ταυτης* > c | 14 *σον εστιν* Aabcmrtz, *εστιν σον* D | 14 *αναστη* D [GR] | 14 *τωι πρωι* m | 14 *αρτον* m | 15 *εδωκε* c | 15 *τη* > AD [GR] amrtz | 15 *επεθηκε* c, qui *το παιδιον* ex 16 huc transfert | 16 *τῶν* [sic] *ωμων* c, *τον ωμων* m, *των ωμων* rt | 16 *αυτης* > ADa | 16 ante *το* + *και* ADamrtz | 16 *το παιδιον* hic > c | 16/17 *απελθουσαι* t | 17 *κατα* prius > ADatz | 17 *φεαρ* m | 18 *εξελειπεν* AD [superest *ελειπεν*], *εξελιπεν* rt[1] | 18 *εκ* > c, *απο* z | 18 *ερριψεν* ADt[1] | 19 post *ελατης* + *και* Dcrz | 19 *δε* > Dcrz | 19 *εκαθισεν* z | 20 *μακροθεν* Dabcmrtz, *μακροτερον* A | 20 *βολην τοξου* r | 20 *ειπεν* ADmrt[1] | 20 *ου* > r

μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἐκάθισεν ἀπέναντι αὐτοῦ· ἀναβοῆσαν δὲ τὸ παιδίον ἔκλαυσεν. 17 εἰσήκουσε δὲ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν, καὶ ἐκάλεσεν ἄγγελος θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν αὐτῇ Τί ἐστιν, Ἄγαρ; μὴ φοβοῦ· ἐπακήκοε γὰρ ὁ θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου, οὗ ἐστίν. 18 ἀνάστηθι καὶ λάβε τὸ παιδίον, καὶ κράτησον τῇ χειρί σου αὐτό· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό. 19 καὶ ἀνέῳξεν ὁ θεὸς τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ εἶδε φρέαρ ὕδατος ζῶντος· καὶ ἐπορεύθη καὶ ἔπλησε τὸν ἀσκὸν ὕδατος καὶ ἐπότισε τὸ παιδίον. 20 καὶ ἦν ὁ θεὸς μετὰ τοῦ παιδίου, καὶ ηὐξήθη καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ· ἐγένετο δὲ τοξότης. 21 καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ Φαράν· καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ γυναῖκα ἐκ τῆς Αἰγύπτου. 22 ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ καὶ εἶπεν Ἀβιμέλεχ καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ

1 εκαθισεν D [superest θισεν] abcmtz, εκαθητο Ar | 2 αυτου > c | 2 post αυτου + μακροθεν Aa | 2 ανεβοησεν D [superest οησεν] t¹, εβοησε m, ανεβοησε t² | 2 ante εκλαυσεν + και D [GR] mt | 2/3 εισηκουσεν AD [superest υσεν] r, επηκουσε c | 3 της φωνης > c | 4 ante θεου + του D [GR] r | 4 θεου AD [GR] abmrtz, κυριου c | 5 επακηκοεν Art¹ | 6 πεδιου A | 6 ante εκ + σου AD [GR] amrtz. post σου ita additum + και εκαλεσεν r | 6 εστιν] ην r, εστι z | 7 και prius > D [GR] cmrt, ante αναστηθι ponit z | 7 post παιδιον + σου z | 7/8 τη χειρι σου αυτο Aabmrt, αυτω τη χειρι σου z, της χειρος αυτου c | 7/8 „ita LL UU et ita legit Augustinus. AA LL κρατησον της χειρος αυτου, quae lectio extat apud Ioannem Chrysostomum et Hieronymum" b | 8 ποιησω] καταστησω z | 8 post ποιησω A αυτον | 9 ιδεν AD [GR], ειδεν mrt¹ | 10 και επορευθη > r | 10 in και post κ minio in margine scriptum litera [κ] radendo deleta, postquam miniator officio suo functus est. talia deinceps tacebo | 10 επλησεν Ar, επληρωσεν t¹, επληρωσε mt² | 10 υδατος > c. ante υδατος + του D [GR] a. post υδατος + ζωντος z | 10 εποτισεν Art¹ | 11 post παιδιον + αυτης c | 11 ηυξηνθη z | 12 και κατωκησεν εν τη ερημω > m | 12 post ερημω + τη φαραν r, + φαραν t, + χαρραν z | 12 εγενετο δε]˙ και εγενετο mrz | 12/13 και κατωκησεν εν τη ερημω φαραν > rz | 13 post ερημω + τη AD [GR] a | 13 φαραη a. > b, in cuius margine calamo adscriptum est | 13 αυτων r | 13 post μητηρ + αυτου crz | 14 της in b calamo correctum quo loco typis exscriptum est φαραν, της etiam cmt, γης AD [GR] a | 14 ante εγενετο + και crz | 14 εγενετο > z | 14 δε > D [GR] crz | 15 και primum > z | 15 aldina fortasse heic et in sequentibus ὁ χοζαθ. quum saepius uocabula disiuncta adpareant in hac editione, certi nihil

Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ πρὸς Ἀβραάμ λέγων Ὁ θεὸς μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐὰν ποιῇς. [23]νῦν οὖν ὄμοσόν μοι τὸν θεὸν μὴ ἀδικήσειν με μηδὲ τὸ σπέρμα μου μηδὲ τὸ ὄνομά μου· ἀλλὰ κατὰ τὴν δικαιοσύνην, ἣν ἐποίησα μετὰ σοῦ, ποιήσεις μετ' ἐμοῦ, καὶ τῇ γῇ ᾗ σὺ παρῴκησας ἐν αὐτῇ. [24]καὶ εἶπεν Ἀβραὰμ Ἐγὼ ὀμοῦμαι. [25]καὶ ἤλεγξεν Ἀβραὰμ τὸν Ἀβιμέλεχ περὶ τῶν φρεάτων τοῦ ὕδατος ὧν ἀφείλοντο οἱ παῖδες τοῦ Ἀβιμέλεχ. [26]καὶ εἶπεν αὐτῷ Ἀβιμέλεχ Οὐκ ἔγνων τίς ἐποίησέ σοι τὸ ῥῆμα τοῦτο· οὐδὲ σύ μοι ἀπήγγειλας οὐδὲ ἐγὼ ἤκουσα ἀλλ' ἢ σήμερον. [27]καὶ ἔλαβεν Ἀβραὰμ πρόβατα καὶ μόσχους καὶ ἔδωκε τῷ Ἀβιμέλεχ· καὶ διέθεντο ἀμφότεροι διαθήκην. [28]καὶ ἔστησεν Ἀβραὰμ ἑπτὰ ἀμνάδας προβάτων μόνας. [29]καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἀβραὰμ Τί εἰσιν αἱ ἑπτὰ ἀμνάδες τῶν προβάτων τούτων, ἃς ἔστησας μόνας; [30]καὶ εἶπεν Ἀβραὰμ ὅτι Τὰς ἑπτὰ ἀμνάδας λήψῃ παρ' ἐμοῦ, ἵνα ὦσί μοι εἰς μαρτύριον ὅτι ἐγὼ ὤρυξα τὸ φρέαρ τοῦτο. [31]διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Φρέαρ ὁρκισμοῦ, ὅτι ἐκεῖ ὤμοσαν ἀμφότεροι. [32]καὶ διέθεντο διαθήκην ἐν τῷ φρέατι τοῦ ὁρκισμοῦ. ἀνέστη δὲ Ἀβιμέλεχ, Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ

adfirmo. ὀχοζαδ c. r[mg] male ad *αβιμελεχ* et *οχοζαθ* refert, quae ad *οχοζαθ* et *φιλοχ* referenda erant: *αδελφου ισχυς* et *στομα πληθους*. *οχοαζαθ* mt, *χοζατ* z

1 *φιχολ* bz, *φικολ* AD [GR], *φιλοχ* ar, *φιχωρ* c, *φιλ* mt | 1 *αρχηστρατηγος* t | 1 *της* > cm[1], habet m[2] super uersum manu prima | 2 *εαν* Aabm[2]rtz, *αν* cm[1] | 2 *ουν* > t | 3 *ωμοσον* cz | 3 *τον θεον* > r | 3 ante *μη* + *του* r | 3 *αδικισιν* A, *αδικησεις* z | 4 *μου* > z | 5 *ποιησειν* r | 5 *συ* > c | 5 *παροικησας* z | 6 *ηλλεξεν* A, *ε* prius in rasura prima manu | 7 *τον* > mt | 7 *ων*] *ον* z | 8 *αφειλαντο* AD [GR] mrt | 8 *του* > c | 8 *αυτω* > D [GR] z | 8/9 *αβιμελεχ* > c | 9 *εποιησεν* Ar | 9 *σοι* > AD [GR] crz | 9 *ρημα* bc, *πραγμα* AD [GR: superest *γμα*] amrtz | 10 *απηγγειλας μοι* r | 10 *αλλα* A | 10 *η* > A | 11 *εδωκεν* Acrt[1] | 11 *τω* > c | 13 *αμναδῶν* z | 13 *μονας* > mt | 14 *τω*] *προς* mt | 14 *τι εστιν αι* z | 14 *αμναδαις* z[1], z[2] prima manu = b | 15 *τουτων* > D | 15 *ας εστησας μονας* > m | 15 *αβρααμ* > cr | 16 post *αμναδας* + *ταυτας* AD [GR] amrtz | 16 *λημψη* AD [GR] | 16 *ωσιν* Amrt[1] | 16 *μοι* > Ar | 16 post *μαρτυριον* + *μοι* r | 17 *επωνομασεν* At[1], *ωνομασεν* r | 18 *ορκισμου*] *ορκου* z | 19 *εθηκαν* c, *εθεντο* mrt | 19 ante *διαθηκην* + *αμφοτεροι* a, + *εκει* mt | 19 *επι το φρεαρ* c, *επι τω φρεατι* rz | 20 *ορκισμου* abcrz, *ορκου* AD [GR: ex „emendatione“

καὶ Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ, καὶ ἐπέ-
στρεψαν εἰς τὴν γῆν τῶν Φυλιστιείμ. 33 καὶ ἐφύτευσεν
Ἀβραὰμ ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου, καὶ ἐπεκα-
λέσατο ἐκεῖ τὸ ὄνομα κυρίου, θεὸς αἰώνιος. 34 παρῴκησε
δὲ Ἀβραὰμ ἐν τῇ γῇ τῶν Φυλιστιεὶμ ἡμέρας πολλάς.
1 καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ θεὸς ἐπείρασε τὸν 22
Ἀβραὰμ καὶ εἶπεν αὐτῷ Ἀβραὰμ Ἀβραάμ. καὶ εἶπεν Ἰδοὺ
ἐγώ. 2 καὶ εἶπε Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγά-
πησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλήν,
καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων
ὧν ἄν σοι εἴπω. 3 ἀναστὰς δὲ Ἀβραὰμ τὸ πρωὶ ἐπέσαξε
τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας καὶ
Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν ἀνα-
στὰς ἐπορεύθη. καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ
θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ. 4 καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς
ὀφθαλμοῖς αὐτοῦ εἶδε τὸν τόπον μακρόθεν. 5 καὶ εἶπεν
Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ Καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου·
ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ προσκυ-

Tischendorfii] mt | 20 in *αβιμελεχ* ante *μ* litera radendo deleta t | 20 ante *οχοζαθ* + *και* AD [GR] cmrtz | 20 hoc loco *ὀχοζὰθ* c. *χοζατ* z | 20/1 *ο νυμφαγωγος αυτου και φιχολ* > z

1 *φικολ* A, *φιλωχ* r, *φιλοχ* a, *ο φιχωρ* c, *φιλ* mt | 1 *της* > mt | 1/2 *απεστρεψαν* cm, *επεστρεψεν* r | 2 *φιλιστιειμ* mz, sed *ι* primum in monacensi e correctura? *φυλησιειμ* t | 2 ad *φυλιστιειμ* r mg *αλλοφυλων* | 3 *αρουραν*] „Aquila et Symmachus *δενδρων φυτειαν*“ b | 3 *επι* Aabcmrtz, *εν* D [GR] | 3 *του φρεατος* z | 3 *ορκισμου* D [GR] | 4 *εκει επι τῳ ονοματι* a | 4 *εκει* > z | 4 *παρωκησεν* Art¹ | 5 *δε* > z | 5 *φιλιστιειμ* mz | 6 *επειραζεν* AD [GR] rt¹, *επειραζε* amt²z. „Symmachus *εδοξασεν*“ b | 6 *το* r | 7 priori loco *ειπε* t²z | 7 *αυτῳ* abcm, *προς αυτον* AD [GR] rtz | 7 *και* alterum abcz, *ο δε* AD [GR] mrt | 8 *ειπεν* Acmrt¹ | 8 *τον αγαπητον* LXX: „Aquila *τον μονογενη*, Symmachus *τον μονον σου*“ b. contra r mg *ἀκυ τὸν μοναχὸν. συ τὸν μόνον σου* | 9 *πορευθεις* mt | 9 *την υψηλην* LXX: „Aquila *την καταφανη*, Symmachus *της οπτασιας*“ b | 10 *και* > mt | 10 *ανενεγκον* A, *ανενεγκαι* D [GR] | 10 ante *αυτον* + *μοι* r | 10 *εκει* > D [GR] mtz | 10 *ολοκαυτωσιν* D [GR] | 10 *εφ* Abc, *επι* D [GR] arz, *υφ* mt | 11 *ὧν*] *ὃν* a | 11 *αν* Aabcrtz, *εαν* Dm | 11 *αβρααμ* > D | 11 *τω πρωι* mr | 11 *επεσαξεν* ADcrt¹ | 12 *και παρελαβεν* D [GR] | 12 *παρελαβεν* Art¹ | 12 *δυο παιδας μεθ εαυτου* r | 14 *ηλθον* c | 14 *επι* Aabmrt, *εις* cz | 14 *τον*] *το* z | 14 *ον* Aabcmrtz, *ου* D [GR] | 16 *αυτου* > AD [GR] a | 16 *ειδεν* mrt¹, *ιδεν* AD | 16 post *τοπον* + *απο* c | 17 *καθεισατε* A | 18 *παιδαριον* abcmrtz,

νήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς. 6 ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. 7 εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ Πάτερ. ὁ δὲ εἶπε Τί ἐστι, τέκνον; εἶπε δὲ Ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; 8 εἶπε δὲ Ἀβραὰμ Ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα 9 ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα· καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. 10 καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ. 11 καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν Ἀβραὰμ Ἀβραάμ. ὁ δὲ εἶπεν Ἰδοὺ ἐγώ. 12 καὶ εἶπε Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν θεόν, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. 13 καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κα-

παιδιον A | 18 *ελευσομεθα* r [qui in margine *εις βηθανιαν ισως*], *διελευσωμεθα* z

1 *αναστρεψωμεν* ADrz. z *αναστρεψωμεν* suum post *προς υμας* ponit | 1 ante *προς* + *εκειθεν* D | 1 *προς υμας* > r | 1 *ελαβεν* ADrt¹ | 2 *ολοκαυτωσεως* D [superest *ολοκαυτω*] | 2 *επεθειχεν* r | 3 *ελαβεν* Art¹ | 3 *χειρα* ADmrt | 3 *και το πυρ* ante *μετα* Acmtz [contra D], ante *ελαβε* z omisso *δε* | 3 *και* primum > a | 3 *μαχαιρα* m | 4 *ειπε δε* bmt², *ειπεν δε* Drt¹, *και ειπεν* A, > a | 5 *τον πατερα αυτου* > m | 5 post *αυτου* + *ειπας* Ac | 5 priori loco *ειπεν* Acmrt¹ | 5 *εστιν* AD | 5/6 *ειπε δε* abc, *λεγων* AD, *ειπεν δε λεγων* mt¹ [*ειπε κτἑ* t²], > r | 6 *το* primum *ο* in rasura habet m | 6 *εστιν* AD | 6 post *εις* + *την* r | 7 *ολοκαυτωσιν* D [GR] z | 7 *ειπεν* ADmrt¹ | 7 *αυτω* z | 7/8 *πραβατον* c | 8 *ολοκαυτωσιν* z | 9 *ο* > z | 10 *εκει* > cz, post *αβρααμ* ponunt mt | 10 *αβρααμ* > D [GR] | 10 *το* > AD [GR] cmrtz | 10 *επεθηκεν* Art¹ | 11 *συμποδησας* c | 12 *τω* r¹, *ν* prima manu super uersum | 13 *λαβειν την μαχαιραν* > mt | 14 *κυριου* > t | 14 *και ειπεν*] *λεγων αυτω* mt | 14 post *ειπεν* + *αυτω* Acrz | 15 *αβρααμ* alterum > m | 15 *ο δε ειπεν* > A, *και ειπεν* mt | 15 *και ειπε*] *ειπε δε* z | 15 fin *ειπεν* Acmrt¹ | 16 *επιβαλεις* z | 16 *ποιησεις* mz | 17 *μηθεν* z | 17 ad *νυν* r^mg *ὁ εβραιος νῦν ἔδειξας* | 17 *σu τον θεον* Dabctz, *τον θεον σu* Amr | 19 *αβρααμ* ante *ειδε* ponit z | 19 *αυτου* > z | 19 *ειδεν* mrt¹, *ιδεν* AD | 19/1 „Me-

τεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων. καὶ ἐπορεύθη Ἀβραὰμ καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ. 14 καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Κύριος εἶδεν· ἵνα εἴπωσι σήμερον Ἐν τῷ ὄρει κύριος ὤφθη. 15 καὶ ἐκάλεσεν ἄγγελος κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ λέγων 16 Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, 17 ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων, 18 καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς. 19 ἀπεστράφη δὲ Ἀβραὰμ πρὸς τοὺς παῖδας αὐτοῦ, καὶ ἀναστάντες ἐπορεύθησαν ἅμα ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου· καὶ κατῴκησεν Ἀβραὰμ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. 20 ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα

lito *ο συρος και ο εβραιος κρεμαμενος φησι ως σαφεστερον τυπουν τον σταυρον*" b

1 *εν φυτω σαβεκ* rz post *των κερατων* | 1 *σαβεκ*] „Aquila *συχνῷ*. schol *το σαβεκ αφεσιν τινες εκδεδωκασιν, οι δε ορθιος, ως ειναι αυτο το λεγομενον τραγος ορθος επαναβεβηκως φυτω. ενταυθα δε ορθος των κερατων κατεχομενος, ως ειναι φανερον τυπον σταυρου. δια τουτο δε ουχ ερμηνευεται, οτι η εβραικη μια ουσα λεξις πολλα σημαινει ερμηνευομενη, προς δε τους πυνθανομενους δει αποκρινεσθαι και λεγειν οτι το σαβεκ επηρμενος ερμηνευει*" b. idem scholion fere iisdem uerbis in catena Nicephori I 282 ζ et m: prima uerba Gennadio adscribit Nicephorus. quae e Diodoro habet Nicephorus, etiam in m leguntur atque ita quidem *Το εν φυτω ουκ εχει· ο συρος, μονον δε το σαβεκ. τουτο δε το ονομα του φυτου ειναι νομιζω. τοις δε εβραιοις το σαβεκ δοκει αφεσιν σημαινειν. και τουτο δε του μυστηριου του σταυρου δηλωτικον αν ειη*. r ad *σαβεκ* in margine adscribit *συχνέω εἶπεν τὸ σαβέκ* | 1 ante *των* + *εκ* cmt | 2 *ελαβεν* AD [superest *αβεν*] rt¹ | 2 *απηνεγκεν* z | 2 *αυτον* > a | 2 *εις* > r | 4 *αβρααμ* > r | 4 *εκεινου* > z | 4 *ιδεν* AD [GR], *οιδεν* z | 5 *ειπωσιν* ADr | 5 *ορη* z | 5 *εκαλεσε* z | 6 *αγγελος κυριου*] *κυριος* z | 6 *δευτερον τον αβρααμ* z | 7 *ωμωσα* bz | 7 *ενεκεν* c | 8 *εφισω* D | 9 *δι εμε* > a | 9 *η* abcmtz, *ει* ADr | 13 *ευλογηθησονται* c | 13/82,4 quae post *τω σπερ* secuntur, > D „usque v. 21" [GR] | 13/14 *της γης* > A | 14 *επηκουσας* z | 14 *Επεστραφη* r | 16 *αμα* > Aa | 16 *επι* usque ad *αβρααμ* > mt | 17 *το φρεαρ* abcr, *τω φρεατι* Az, *τωι φρεατι* mt

καὶ ἀνηγγέλη τῷ Ἀβραὰμ λέγοντες Ἰδοὺ τέτοκε Μελχὰ καὶ
αὐτὴ υἱοὺς τῷ Ναχὼρ τῷ ἀδελφῷ σου, [21] *τὸν Οὒζ πρωτότο-*
κον καὶ τὸν Βαὺξ ἀδελφὸν αὐτοῦ καὶ τὸν Καμουὴλ πατέρα
Σύρων [22] *καὶ τὸν Χαζὰδ καὶ Ἀζαῦ καὶ τὸν Φαλδὲς καὶ τὸν*
Ἰελδὰφ καὶ τὸν Βαθουήλ. [23] *Βαθουὴλ δὲ ἐγέννησε τὴν Ῥε-*
βέκκαν. ὀκτὼ οὗτοι υἱοί, οὓς ἔτεκε Μελχὰ τῷ Ναχὼρ τῷ
ἀδελφῷ Ἀβραάμ. [24] *καὶ ἡ παλλακὴ αὐτοῦ, ᾗ ὄνομα Ῥεύμα,*
ἔτεκε καὶ αὐτὴ τὸν Ταβὲκ καὶ τὸν Ταὰμ καὶ τὸν Τοχὸς καὶ
23 *τὸν Μοχά.* [1] *ἐγένετο δὲ ἡ ζωὴ Σάρρας ἔτη ἑκατὸν εἰκοσιεπτά.*
[2] *καὶ ἀπέθανε Σάρρα ἐν πόλει Ἀρβόκ, ἥ ἐστιν ἐν τῷ κοιλώ-*
ματι· αὕτη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χαναάν. ἦλθε δὲ Ἀβραάμ
κόψασθαι Σάρραν καὶ πενθῆσαι. [3] *καὶ ἀνέστη Ἀβραὰμ ἀπὸ*
τοῦ νεκροῦ αὐτοῦ· καὶ εἶπεν Ἀβραὰμ τοῖς υἱοῖς τοῦ Χὲτ
λέγων [4] *Πάροικος καὶ παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν· δότε*

1 *λεγοντων* z | 1 *τετοκεν* Acr | 2 *τω* prius > Aa | 2 *ουζ* b, *ωζ* z, *ωξ* Aacmrt | 2/3 post *πρωτοτοκον* + *αυτου* r | 3 loco *βαυξ* z *ζᾶβ* | 4 *χασζαδ* Amt, *χασ[αδ]* D, *χαζαθ* cr, *χοζατ* z | 4 ante *αζαυ* + *τον* ADacmrtz | 4 *ναζαυ* a, *αζαν* r | 4 *φαλδας* AD [e correctione uel primae manus uel coaeuae librario ipsi] mrtz, *φαλδαλ* D[1], *φαλας* c | 4/5 *και τον ιελδαφ* > D | 4 *τον* quartum > m | 5 *ιελδαθ* c, *ελαφ* mt, *ιελαμ* z. *ιελδαφ* hoc loco r | 5 *βαθουηλ δε* abr, *και βαθουηλ* ADcmt, *και μαθουηλ* z | 5 *εγεννησεν* ADrt[1] | 5/6 *ρεβεκαν* z | 6 *υιοι ουτοι* z | 6 *ετεκεν* ADr | 7 *παλλακις* a | 7 *ρευμα* b, *ρεηρα* A, *ρεημα* D [GR] amrtz, *ρεμαν* c | 8 *ετεκεν* ADcrt[1] | 8 post *αυτη* + *τον βααικ* m, + *τον βαακ* t | 8 *τον ταβεκ και τον τααδ* r, *τον τααμ και τον ταβεκ* D, *τον τααδ και τον γαεν* c, *τον τααδ και τον ταβεκ* z, *και τον τααμ και τον ταβεχ* mt | 8 *τοχως* t, *τουχως* z, *χως* m [D=b] | 9 *μωχα* AD [GR] rz, *χωμα* c, *μωχαν* mt | 9 *ετη ρκζ* tz, *ρκζ ετη* r | 9 post *εικοσιεπτα* + *ετη ζωης σαρρας* D | 9 r: *μελχᾶ βασιλεια. ωξ βουλευομενον. ναχωρ αναπαυσεως φωτος. βαυξ εξουδενωμενον. καμουηλ αναστασις θεου. συρων μετεωρων. χαζαθ ψευδος. φαλδας πτωσιν ενδεους η πτωσιν πτωχειας. αζαυ ορωντα. ιελδαβ* [sic] *χειρος περισσεια η χειρα λαβε. βαθουηλ ενοικον θεου η θυγατερα θεου. ρεβεκκαν υπομονην. τοχος σιγη. ρεεμα* [sic hoc loco] *ορασις προσδοκωμενη η αγαπητη η ορωσαν. τααμ διαμηρυκομενον ἢ φαραγγα καυματος. μωχα εντερον κενον* | 10 *απεθανεν* Art[1] | 10 ante *πολει* + *τη* c | 10 *πολλει* z | 10/13 r: *αρβοχ* [sic in commentario] *τετραγωνω. χεβρων συζυγη η εταιρια. χετ εκστασεως* | 10 ...*βοκ* etiam D. *αρβουκ* a, *αρβωκ* mtz | 10/11 *κυλωματι* t | 11 *εστιν* ADt[1] | 11 *χευρων* z | 11 *τη* > AD [GR] m, t habet *τῆι* | 11 *ηλθεν* ADrt[1] | 12 *σαρραν* post *πενθησαι* m | 12 post *πενθησαι* + *αυτην* r | 13 *αυτου* > cr | 13 *ειπε* ct[2]z | 13 *αβρααμ* > Dcmrtz | 13 *του* alterum > Aacmz [non t] | 14 *παρεπιδιμος* z | 14/1 quae inter *δοτε* 14 et *υμων* 1 media, > r

μοι οὖν κτῆσιν τάφου μεθ' ὑμῶν, καὶ θάψω τὸν νεκρόν μου ἀπ' ἐμοῦ. 5 ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Χὲτ πρὸς Ἀβραὰμ λέγοντες 6 Μή, κύριε· ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ θεοῦ σὺ εἶ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου· οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ κωλύσει τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ, τοῦ θάψαι τὸν νεκρόν σου ἐκεῖ. 7 ἀναστὰς δὲ Ἀβραὰμ προσεκύνησε τῷ λαῷ τῆς γῆς, τοῖς υἱοῖς τοῦ Χέτ. 8 καὶ ἐλάλησε πρὸς αὐτοὺς Ἀβραὰμ λέγων Εἰ ἔχετε τῇ ψυχῇ ὑμῶν ὥστε θάψαι τὸν νεκρόν μου ἀπὸ προσώπου μου, ἀκούσατέ μου καὶ λαλήσατε περὶ ἐμοῦ Ἐφρὼμ τῷ τοῖ Σαάρ· 9 καὶ δότω μοι τὸ σπήλαιον τὸ διπλοῦν, ὅ ἐστιν αὐτῷ, τὸ ὂν ἐν μέρει τοῦ ἀγροῦ αὐτοῦ· ἀργυρίου τοῦ ἀξίου δότω μοι αὐτὸ ἐν ἱμῖν εἰς κτῆσιν μνημείου. 10 Ἐφρὰν δὲ ἐκάθητο ἐν μέσῳ τῶν υἱῶν Χέτ· ἀποκριθεὶς δὲ Ἐφρὼν ὁ Χετταῖος πρὸς Ἀβραὰμ εἶπεν, ἀκουόντων τῶν υἱῶν Χὲτ καὶ τῶν εἰσπορευομένων εἰς τὴν πόλιν πάντων, λέγων 11 Παρ' ἐμοὶ γενοῦ, κύριε, καὶ ἄκουσόν μου. τὸν ἀγρὸν καὶ τὸ σπήλαιον τὸ ἐν αὐτῷ σοὶ δίδωμι· ἐναντίον πάντων τῶν πολιτῶν μου δέδωκά σοι· θάψον τὸν νεκρόν σου. 12 καὶ προσεκύνησεν Ἀβραὰμ ἐναντίον τοῦ λαοῦ τῆς γῆς 13 καὶ εἶπε τῷ Ἐφρὼν εἰς τὰ ὦτα ἐναντίον τοῦ λαοῦ τῆς γῆς Ἐπειδὴ πρὸς ἐμοῦ εἶ, ἄκουσόν

1 μοι ουν ab, ουν μοι ADcmtz | 1 ταφου > c | 2 απ εμου Dabcmrtz, εκει A | 2 οι > crz | 2 ante χετ + του Dc | 3 μη κυριε > r | 3 δε > r | 3 υμων a | 3 ante βασιλευς + κυριος r | 4 ει συ Dcmrt | 4 ει > z | 5 ουθεις mt | 5 ου μη > Aarz, ου > D | 5 κωλυση mt | 5/6 κωλυση το μνημειον αυτου απο σου Dt, το μνημειον αυτου κωλυσει απο σου Aar | 6 απο σου > m, habet t | 6 του θαψαι Aabcrz, θαψον D, θαψαι mt | 6 ante εκει + απο σου z | 7 προσεκυνησεν ADrt[1] | 7 ante τοις + και m [non t] | 7 του > Amrtz, habet D | 8 ελαλησεν ADrt[1] | 8 αβρααμ > rz | 10 και > c | 10 εφρωμ b contra D et reliquos | 10 εφρων χους λιπαρος. σααρ κραυγη r^{mg} | 10 τω] το z | 11 δοτο t, δοτε z | 11 αυτου crz | 11 ante το ον + εν t | 11 το ων z | 12 μερει Dabcmrtz, μεριδει A | 12 δοτω Dabcmrtz, δοτε A | 12 αυτω z | 13 δε > r | 13 ante μνημειου + του D [GR] | 13 εμμεσω A | 14 δε > z | 15 αβρααμ] αυτον mt | 15 post ακουοντων + παντων r | 15 post και + παντων AD [GR] cmrtz | 15 των alterum > c | 16 πολιν] πυλην της πολεως αυτου r | 16 παντων > Acmrtz | 16 λεγω mt | 16 εμου mtz | 16 γινου c | 17 post αγρον + δεδωκα z, qui διδωμι 18 nihilominus habet, + δεδωκα σοι r | 18 ενωπιον z | 18 παντων > A | 20/21 του 20 usque ad γης 21 > t in spatio uacuo octo tantum literarum capaci | 20 post γης + και τοις υιοις του χετ a | 20 ειπεν Amr | 21 εναντιον > D [GR] | 21 ante του + παν-

μου· τὸ ἀργύριον τοῦ ἀγροῦ λάβε παρ' ἐμοῦ, καὶ θάψω τὸν νεκρόν μου ἐκεῖ. 14 ἀπεκρίθη δὲ Ἐφρὼν τῷ Ἀβραὰμ λέγων 15 Οὐχί, κύριε· ἀκήκοα γάρ, γῆ τετρακοσίων διδράχμων ἀργυρίου· ἀλλὰ τί ἂν εἴη τοῦτο ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; σὺ δὲ τὸν νεκρόν σου θάψον. 16 καὶ ἤκουσεν Ἀβραὰμ τοῦ Ἐφρών· καὶ ἀπεκατέστησεν Ἀβραὰμ τῷ Ἐφρὼν τὸ ἀργύριον, ὃ ἐλάλησεν εἰς τὰ ὦτα τῶν υἱῶν Χέτ, τετρακόσια δίδραχμα ἀργυρίου δοκίμου ἐμπόροις. 17 καὶ ἔστη ὁ ἀγρὸς Ἐφρών, ὃς ἦν ἐν τῷ διπλῷ σπηλαίῳ, ὅς ἐστι κατὰ πρόσωπον Μαμβρῇ, ὁ ἀγρὸς καὶ τὸ σπήλαιον, ὃ ἦν ἐν αὐτῷ, καὶ πᾶν δένδρον, ὃ ἦν ἐν τῷ ἀγρῷ, καὶ πᾶν, ὅ ἐστιν ἐν τοῖς ὁρίοις αὐτοῦ κύκλῳ, 18 τῷ Ἀβραὰμ εἰς κτῆσιν ἐναντίον τῶν υἱῶν Χὲτ καὶ πάντων τῶν εἰσπορευομένων εἰς τὴν πόλιν. 19 μετὰ ταῦτα ἔθαψεν Ἀβραὰμ Σάρραν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι Μαμβρῇ· αὕτη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χαναάν. 20 καὶ ἐκυρώθη ὁ ἀγρὸς καὶ τὸ σπήλαιον, ὃ ἦν ἐν αὐτῷ τῷ Ἀβραὰμ εἰς κτῆσιν τάφου παρὰ τῶν υἱῶν

τος Aaz | 21 post *γης* + *λεγων* r | 21 *επειδη* habet *η* in rasura scriptum r

1 *θαψον* Az | 2 *εφρωμ* t | 2 *τω αβρααμ* > z | 2 post *λεγων* + *αυτω* r | 3 post *κυριε* + *μου* r | 3 *γη* > AD [GR] crz, eius loco *οτι* a | 3 *διδραγμων* mt. *διδαχμων* r^1, *διδραχμων* r^2, *δραχμων* z. in margine r *στατηρες ως φησιν ωριγενης. το ημισυ της ογκιας εχει δραχμας δυο* et *μαλλον εις αργυρον οι τοτε συνηλλαττον ως μεχρι νυν περσαι και τα περι την αρμενιαν* | 4 *αλλα* > AD [GR] amrtz | 4 *τι αν ειη τουτο ανα μεσον εμου και σου* bc, *ανα μεσον εμου και σου τι αν ειη τουτο* Aamt, *ανα μεσον εμου και ανα μεσον σου τι αν ειη τουτο* D [GR] rz | 5 *του* bcmrtz, *τω* Aa | 6 *και απεκατεστησεν αβρααμ τω εφρων* > az | 6 *απεκατεστησεν* Abt, *αποκατεστησεν* cm, *απεστειλεν* r | 7 ante *χετ* + *του* mt | 7 *ῡ* z | 7 *διδραγμα* mrt | 8 *ενποροις* A | 8 *εστη* Abcmtz, *εστιν* ar | 9 *εν τω σπηλαιω τω διπλω* cz | 9 *ος* Aabmrt, *ο* D [GR] cz | 9 *εστιν* A | 10 *ὃ* prius ... *δενδρον* > z initio nouae paginae | 10 *εν* > A | 10 *παν* > a | 11 *και παν* > AD [GR] acmrtz | 11 ante *τοις* + *πασιν* D [GR], + *πασι* ar | 11 *ορεοις* z | 12 *τω*] *του* z | 12 *κτισιν εναντιων* z | 12 *των* > z | 12 ante *χετ* + *του* c | 12 *και παντ* in rasura A, manu uel prima uel correctoris antiquissimi | 13 *πολιν*] *πυλην της πολεως αυτου* r | 13 ante *μετα* + *και* mt, post *μετα* + *δε* c | 14 *την γυναικα αυτου σαρραν* m, sed *α β* uersui inpositis prima manu in ordinem uulgatum redacta | 15 *εστιν χεβρων* At^1 | 15 *χευρων* z | 16 *τη* > D [GR] z | 16/17 *ο ην* Aabmrtz, *το* c | 17 *εν* > A | 17 *κτισιν* z

Χέτ. 1 *καὶ Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς ἡμερῶν,* **24**
καὶ κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα. 2 *καὶ εἶπεν*
Ἀβραὰμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ
τῷ ἄρχοντι πάντων τῶν αὐτοῦ Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν
μηρόν μου, 3 *καὶ ἐξορκιῶ σε κύριον τὸν θεὸν τοῦ οὐρανοῦ*
καὶ τὸν θεὸν τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου
Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ' ὧν ἐγὼ
οἰκῶ ἐν αὐτοῖς. 4 *ἀλλ' ἢ εἰς τὴν γῆν μου, οὗ ἐγεννήθην, πο-*
ρεύσῃ καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου
Ἰσαὰκ ἐκεῖθεν. 5 *εἶπε δὲ πρὸς αὐτὸν ὁ παῖς Μήποτε οὐ*
βούληται ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ ὀπίσω εἰς τὴν γῆν
ταύτην, ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες
ἐκεῖθεν; 6 *εἶπε δὲ πρὸς αὐτὸν Ἀβραὰμ Πρόσεχε σεαυτῷ μὴ*
ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. 7 *κύριος ὁ θεὸς τοῦ οὐρανοῦ*
καὶ ὁ θεὸς τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός
μου καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι καὶ ὃς
ὤμοσέ μοι λέγων Σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρ-

1 ante *χετ* + *του* cz | 1 *προβεβηκος* z | 2 *ευλογησεν* ADt[1], *ευλογησε* cmt[2]z, *ηυλογησεν* r | 3 *παιδι αυτω τω* z | 4 *παντων* post *των αυτου* ponunt cz | 4 post *των* rasura duarum literarum capax A | 4 *αυτου*] *υπαρχοντων αυτωι* mt | 4/5 *επι τὸν μηρῶν* z | 5 in commentario r *Εβραιος δε τις ελεγεν τον ορκον ειναι κατα της περιτομης, αλλοι δε κατα του εκ σπερματος εκπορευομενου χριστου. Ευσεβιου εμισης Ο ελλην σεμνοτερον ερμηνευει· ο γαρ εβραιος και ο συρος αυτο λεγει του ανδρος το τεκνοποιον οργανον. κελευει δε εκεινον θειναι την χειρα, ινα κατα της περιτομης ομοση της του θεου διαθηκης* | 5 *εξορκιω* A[2]bcmrt, *εξορκισω* A [prima manu, si Babero fides] D [GR], *εξορκιζω* a, *ορκιω* z | 6 *τον θεον* > Ar | 6/7 *ισαακ τω υιω μου* c | 7 ante *ισαακ* + *τωι* t | 7 *απο* Aabmrtz, *εκ* c | 7 *εγω* > z | 8 *εν αυτοις* Dabcmrtz, *μετ αυτων* A | 8 *αλλ η* D[?]abmrtz, *αλλα* A, *αλλ* c | 8 *εγεννηθην* D [superest *εννη*] b, *εγενομην* Aamrtz, *εγω εγενομην* c | 9 post *μου* prius + *και εις τον οικον του πατρος μου* z | 9 *λημψη* AD [GR], *ληψει* z | 10 *ειπεν* ADrt[1] | 10 *μηποτε ου* Aabmrt, *εαν ουν μη* c, *εαν μη* z | 11 *βουλεται* AD, *βουληθη* z | 11 *πορευθηναι* Aabcmrtz, *ελθειν* D [GR : superest *ειν*] | 12 ante *αποστρεψω* + *και αποστρεφων* mt, *μη αποστρεφων* r | 12 *εις την γην οθεν εξηλθες* > z | 13 *ειπεν* ADrt[1] | 13 *αβραμ* m[1], prima manu correctum | 14 *αποστρεψεις* z | 14/15 quae inter *τον* 14 et *γης* 15, > r | 14 *κυριε* t | 15 *ο θεος* > z | 15 *ελαβεν* Ar | 16 *ης* > r [addidit MCrusius in libro mutuo accepto] | 16 *εγενηθην* Aar | 16 *ελαλησεν* Ar | 16 *μοι* > z, *μου* m | 16/17 *και ος ωμοσε μοι* > r | 16 *ος* alterum > ADcmtz | 17 „ab *ωμοσε* usque

ματί σου· αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. 8 *ἐὰν δὲ μὴ θέλῃ ἡ γυνὴ πορευθῆναι μετὰ σοῦ εἰς τὴν γῆν ταύτην, καθαρὸς ἔσῃ ἀπὸ τοῦ ὅρκου μου· μόνον τὸν υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ.* 9 *καὶ ἔθηκεν ὁ παῖς τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν Ἀβραὰμ τοῦ κυρίου αὐτοῦ, καὶ ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου.* 10 *καὶ ἔλαβεν ὁ παῖς δέκα καμήλους ἀπὸ τῶν καμήλων τοῦ κυρίου αὐτοῦ καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ μεθ' ἑαυτοῦ, καὶ ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ.* 11 *καὶ ἐκοίμισε τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψέ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι.* 12 *καὶ εἶπε Κύριε ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ.* 13 *ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ·* 14 *καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω Ἐπίκλινον τὴν ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ μοι Πίε σύ, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πίνουσαι — ταύτην ἡτοίμασας τῷ παιδί σου τῷ Ἰσαάκ· καὶ ἐν τούτῳ γνώσομαι ὅτι*

v. 14 omnia desiderantur" D [GB] | 17 *ωμοσεν* A, *ωμωσεν* m | 17/1 *λεγων τω σπερματι σου δωσω την γην ταυτην* r

1 *εμπροθεν* m¹, prima manu correctum | 2 *λημψη* A | 2 post *μου* + *ισαακ* Aaz | 2 *δε* > z | 3 *θελει* z | 3 *μετα σου* post *ταυτην* conlocant mt | 4 *εσῃ*] *ει συ* z | 4 *ορκου μου* b, *ορκου τουτου* Aamrtz, *ορκου μου τουτου* c | 5 *αυτου* > m | 5/6 *επι των μηρων* z | 6 *αβρααμ του κυριου* > z | 6 *αβρααμ* > A, additum est a correctore quodam perantiquo | 7 inde a syllabis *ματος* uocis *ρηματος* usque ad *Μεσοποταμιαν* 10 superest lacinia codicis S | 8/9 *των αγαθων του κυριου αυτου* > r | 9 *την* > c | 10 *εκοιμησεν* A, *εκοιμισεν* r, *εκοιμησε* mtz. „schol *εγονατισεν*" b^mg | 11 *παρα*] *περι* z | 11 *υδατος τωι προς* m | 12 post *ηνικα* + *δε* z | 12 *επορευοντο* r | 12 *και* > z | 12 *ειπεν* Amrt¹ | 12 *κυριος* a | 13 *μου* > A | 13 *εμου*] *μου* mt | 15 *εγω* > c | 15 *την πηγην* c | 15 *πηγης*] *γης* a | 15 *δε* > z | 15/16 *θυγατεραις* z | 16 ante *των* + *των ανθρωπων* c | 16 *ενοικουντων* z | 16 *αντλησαι* r in margine manu prima, in media pagina *υδρευσασθαι* | 17 *ειπω εγω* r | 17 ante *την* + *μοι* mrt, + *μ* (quod uulgo *μου* legendum est) z | 18 ante *πιω* + *εγω* mt | 18 *ειπει* m | 18 *μοι* > mrt | 18 post *πιε* + *και* m | 18 *συ* > crt | 19 *παυσονται* tz | 19 *πιννουσαι* A | 19/20 *ταυτην* usque ad *ισαακ* bis scripsit r | 19/20 „schol *απεδειξας*" b^mg. *συ ἀπέδειξας* r^mg | 20 *τῳ* alterum > Acmrtz | 20 *τουτῳ*] *του* A, *τουτο* t

ἐποίησας ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. 15 καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουήλ, υἱῷ Μελχᾶς τῆς γυναικὸς Ναχώρ, ἀδελφοῦ δὲ Ἀβραάμ, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων αὐτῆς. 16 ἡ δὲ παρθένος ἦν καλὴ τῇ ὄψει σφόδρα· παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν αὐτῆς, καὶ ἀνέβη. 17 ἐπέδραμε δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῆς καὶ εἶπε Πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου. 18 ἡ δὲ εἶπε Πίε, κύριε· καὶ ἔσπευσε καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς καὶ ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων. 19 καὶ εἶπε Καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, ἕως ἂν πᾶσαι πίωσι. 20 καὶ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον, καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι πάλιν, καὶ ὑδρεύσατο πάσαις ταῖς καμήλοις. 21 ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτήν, καὶ παρεσιώπα τοῦ γνῶναι εἰ εὐώδωκε κύριος τὴν ὁδὸν αὐτοῦ ἢ οὔ. 22 ἐγένετο δὲ ἡνίκα ἐπαύσαντο πᾶσαι αἱ κάμηλοι πίνουσαι, ἔλαβεν ὁ ἄνθρωπος ἐνώτια χρυσᾶ ἀνὰ δραχμὴν ὁλκῆς

1 *πεποιηκας* mt | 1 *μετα του κυριου* bcmtz, *τω κυριω* Aar | 2 *αυτον* in rasura prima manu A | 2 *αυτον συντελεσαι* D [GR] r | 2 *αυτου* > AD [GR] cmrtz | 3 *ρεβεκα* z | 3 ad *ρεβεκκα* adscr r[mg] *πολλη υπομονη* | 3 ante *υιω* + *τω* z | 4 *ναχωρ του αδελφου αβρααμ* c | 4 *δε* > rt | 4 7 10 13 *υδρειαν* r | 5 *τον ωμον* z | 5 *αυτης* > cz | 7 in *πηγην* post *π* litera deleta A | 7 *επλησεν* Ar | 7 *αυτης* > D [GR] cmtz | 7/8 *επεδραμεν* Art[1], *εδραμε* c | 8 *δε* > r | 8 *αυτη* cr | 8 *ειπεν* Amrt[1], *ειπεν αυτη* c | 8 *ποτησον μοι* m | 9 *υδωρ* > mt | 9 *υδρειας* r | 9 *ειπεν* Amrt[1] | 9 post *κυριε* + *μου* r | 10 *εσπευσεν* Art[1] | 10 loco *και καθειλε* rz *καθελειν* | 10 *καθειλεν* At[1], *καθιλεν* D [GR] | 10 post *υδρειαν* + *αυτης* r | 10 *εαυτης* r | 11 *εποτησεν* m | 11 post *εως* + *ου* D [GR] c | 11 *ειπεν* Amrt[1] | 12 *τας καμηλους σου ποτιω και υδρευσομαι* a | 12 *πιωσιν* Art[1] | 13 *εσπευσεν* Art[1] | 13 *εξεκενωσεν* Ar, *εξεκαινωσε* m | 13 ante *εις* + *εαυτης* r | 13 *εις* abmrtz, *επι* Ac | 13 *ποτηστηριον* m, *ποτηριον* tz | 14 *εδραμε* c | 14 ante *επι* + *ετι* D [GR] amrtz | 14 *παλιν* b, *υδωρ* Aamt, neutrum D [GR] rz, ante *επι* ponit *παλιν* c sine *υδωρ* | 14 *υδρευσαντο* r [Crusium expertum est] | 14/15 *ταις καμηλοις πασαις* z | 15 post *καμηλοις* + *αυτου* r | 16 *του γνωναι* > m | 16 *ει ευωδωκε* bmt[2], *η ευοδωκεν* A [*οδωκεν κς την* prima manu in rasura A], *ει ευοδωκεν* r, *ευοδωσεν* D [GR: de *ει* tacetur], *ει ευοδωσε* a, *ει ευοδωκε* cz, *ει ευωδωκεν* t[1] | 17 *εγενετο δε* > z | 17 post *ηνικα* + *δε* z | 17 *πασαι* > D [GR] z | 17 *καμιλοι* m, *καμηλαι* z | 17 „a uoce *καμηλοι* usque v. 30 omnia desunt" D [GR] | 18 ante *ενωτια* + *δυο* c | 18 *ανα δραχμην ολκης*] „L U *διδραχμήν*. Hieronymus

καὶ δύο ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῆς· δέκα χρυσῶν ὁλκὴ αὐτῶν. 23 *καὶ ἐπηρώτησεν αὐτὴν καὶ εἶπε Θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι· εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν τοῦ καταλῦσαι;* 24 *ἡ δὲ εἶπεν αὐτῷ Θυγάτηρ Βαθουήλ εἰμι τοῦ Μελχᾶς, ὃν ἔτεκε τῷ Ναχώρ.* 25 *καὶ εἶπεν αὐτῷ Καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν καὶ τόπος τοῦ καταλῦσαι.* 26 *καὶ εὐδοκήσας ὁ ἄνθρωπος προσεκύνησε τῷ κυρίῳ καὶ εἶπεν* 27 *Εὐλογητὸς κύριος, ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην αὐτοῦ καὶ τὴν ἀλήθειαν ἀπὸ τοῦ κυρίου μου· ἐμέ τ' εὐώδωκε κύριος εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου.* 28 *καὶ δραμοῦσα ἡ παῖς ἀνήγγειλε[ν] εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα.* 29 *τῇ δὲ Ῥεβέκκᾳ ἀδελφὸς ἦν, ᾧ ὄνομα Λάβαν· καὶ ἔδραμε Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πηγήν.* 30 *καὶ ἐγένετο, ἡνίκα εἶδε τὰ ἐνώτια καὶ τὰ ψέλλια ἐν ταῖς χερσὶ τῆς ἀδελφῆς αὐτοῦ, καὶ ὅτε ἤκουσε τὰ ῥήματα Ῥεβέκκας τῆς ἀδελφῆς αὐτοῦ λεγούσης Οὕτω λελάληκέ μοι ὁ ἄνθρωπος: καὶ*

in quaest hebr uertit didrachmum pondus eius" b mg | 18 *δραχμης* A, *διδραγμον* mt, *δραχμων* z | 18 post *ολκης* + *και εθηκεν εις τα ωτα αυτης* z

1 ultra hunc uersum, temporis angustia inpeditus, codicem r conferre non potui, ad quem spero fore ut redire aliquando possim | 1 *ψελια* Ac | 1 ante *επι* + *χρυσα* z | 2 *ειπεν* Acmt¹z | 3 *μοι*] *ημιν* m [t = b] | 3 ante *ει* + *και* cz | 3 *εστιν* At¹ | 3 *τοπος* post *εστι* z | 3 *του* > Acmtz | 4 *η δε* ab, *και* Acmtz | 4 *ειπε* z | 4 *αυτῳ* > z | 4 ante *ειμι* + *εγω* m, post *ειμι* + *εγω* Atz | 5 *μελχα* a | 5 *ετεκε τω* abcmz, *ετεκεν αυτω* A, *ετεκεν τωι* t | 5 *ειπεν* > z | 5 *και* alterum > ctz | 6 *χορτασματα* abcmtz, *χορτασμα* A | 6 *πολλα* > mt, *πολυ* A | 6 post *τοπος* + *ημιν* z | 6 *του* > z | 7 *προσεκυνησεν* A | 7 *τῳ* > A | 8 post *ειπεν* + *αυτη* z | 9 *ου* cz | 9 *εγκατελειπεν* A, *κατελιπες* c, *κατελιπε* z | 9 *αυτου* > Aa, *σου* c | 10 post *μου* + *αβρααμ* cmtz | 10 *εμε τ ευωδωκε* b, *εμε ευοδωκεν* A, *εμε ευωδωκε* at², *εμε τε ευοδωσε* c, *εμε ευωδοκε* m, *εμε ευωδωκεν* t¹, *και εμε εν οδω ηγαγε* z | 10 post *εις* + *τον* c | 10 *του* alterum > m | 11 post *μου* + *λαβειν γυναικα τω υιω αυτου* c | 11 *απηγγειλεν* At, *ανηγγειλε* ab | 12 *εις τον οικον* > a | 12 *τη μητρι* a | 12 *τα* > A¹, super uersum scripsit uel ipse librarius uel corrector coaeuus | 13 *ην αδελφος* c | 13 *εδραμεν* A, *ελαβε* m [MCrusius *εδραμε* super uersum scripsit, in libro mutuo accepto!] | 14 *εξω επι την πηγην προς τον ανθρωπον* z | 15 *ιδεν* A, *ειδεν* t¹ | 15 *ψελια επι τας χειρας* A, *ψελλια επι τας χειρας* az, *ψελια επι τας δυο χειρας* c | 16 *οτι* mtz | 16 *ηκουσεν* Az | 16 *τα ρηματα* > z | 16/17 *της*

ἦλθε πρὸς τὸν ἄνθρωπον, ἑστηκότος αὐτοῦ ἐπὶ τῶν καμήλων ἐπὶ τῆς πηγῆς, 31 καὶ εἶπεν αὐτῷ Δεῦρο εἴσελθε, εὐλογητὸς κυρίου· ἵνα τί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμασα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις. 32 εἰσῆλθε δὲ ὁ ἄνθρωπος εἰς τὴν οἰκίαν, καὶ ἀπέσαξε τὰς καμήλους· καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα ταῖς καμήλοις, καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ, 33 καὶ παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν. καὶ εἶπεν Οὐ μὴ φάγω ἕως τοῦ λαλῆσαί με τὰ ῥήματά μου. καὶ εἶπεν Λάλησον. 34 καὶ εἶπε Παῖς Ἀβραὰμ ἐγώ εἰμι. 35 κύριος δὲ ηὐλόγησε τὸν κύριόν μου σφόδρα, καὶ ὑψώθη· καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους καὶ ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους. 36 καὶ ἔτεκε Σάρρα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτόν· καὶ ἔδωκεν αὐτῷ ὅσα ἦν αὐτῷ. 37 καὶ ὥρκισέ με ὁ κύριός μου λέγων Οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ παροικῶ ἐν τῇ γῇ αὐτῶν· 38 ἀλλ' εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν.

αδελφης αυτου ρεβεκκας t, αυτης eorum loco z | 17 ουτως Amt | 17 λελαληκεν A | 17/89, 5 quae inter και 17 et και prius 89, 5 media, > z

1 ηλθεν At[1] | 2 ante της + της γης m [sic, non t] | 2 post πηγης + του υδατος m | 2 δευρω t | 3 ante ινα + και c | 2/3 „ita LL UU et latina editio. AA LL ευλογητος κυριος“ b[mg] | 3 κυριος AD [GR] amt | 3 ητοιμακα D [GR] mt | 4 post και + τον a | 4 εισηλθεν At[1] | 5 επεσαξεν A | 6 νιψασθαι > Aacz | 7 post και + υδωρ z | 7 ποσιν των A | 8 αυτους t | 8 αρτον z | 8 post ειπεν + ο ανθρωπος z | 9 με > mt | 9 ειπαν Aamt, ειπον z, ειπε c | 10 ειπεν Amt[1] | 10 παις ειμι εγω του αβρααμ z | 10 ειμι εγω c | 10 δε > D [GR], post δε + ευλογητος m | 10/11 ευλογησεν At[1], ευοδωσεν D [GR], ευλογησε cmt[2]z | 11 εδωκεν] εγενετο z | 12 μοσχοι z, βοας mt | 12 και secundum > z | 12 και χρυσιον και αργυριον D, χρυσιον και αργυριον cmt | 12 ante παιδας + και Dc. παιδες z | 13 παιδισκαι καμηλοι ονοι z | 13 ετεκεν ADt[1] | 14 ενα > D [GR: spatium assentitur] | 14 τω κυριω μου > z | 15 αυτην D [GR] mt, τον κυριον μου z | 15 ante οσα + παντα Dmt | 15 ωρκισεν AD, ωρκησε z | 16 λημψη AD, ληψει z | 17 θυρατερων D, si Tischendorfio fides | 17 εν οις] μεθ ων mt | 17 οικω mt | 18 αυ αυτων m, τον κυριον μου z | 18 αλλα mt | 18 post αλλ + η ADa | 19 λημψη AD | 19 ante εκειθεν + ισαακ mt | 19 εκειθεν > c

39 εἶπα δὲ τῷ κυρίῳ μου Μήποτε οὐ πορεύσεται ἡ γυνὴ μετ' ἐμοῦ. 40 καὶ εἶπέ μοι Κύριος ὁ θεός, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἐξαποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σου καὶ εὐοδώσει τὴν ὁδόν σου· καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκ τῆς φυλῆς μου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου. 41 τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου· ἡνίκα γὰρ ἐὰν ἔλθῃς εἰς τὴν φυλήν μου καὶ μή σοι δῶσι, καὶ ἔσῃ ἀθῷος ἀπὸ τοῦ ὁρκισμοῦ μου. 42 καὶ ἐλθὼν σήμερον ἐπὶ τὴν πηγὴν εἶπα Κύριε ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδόν μου, ἐν ᾗ νῦν ἐγὼ πορεύομαι ἐν αὐτῇ. 43 ἰδοὺ ἐγὼ ἐφέστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως ἐκπορεύονται ἀντλῆσαι ὕδωρ, καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω Πότισόν με ἐκ τῆς ὑδρίας σου μικρὸν ὕδωρ, 44 καὶ εἴπῃ μοι Καὶ σὺ πίε καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι: αὕτη ἡ γυνή, ἣν ἡτοίμασε κύριος τῷ ἑαυτοῦ θεράποντι Ἰσαάκ· καὶ ἐν τούτῳ γνώσομαι ὅτι πεποίηκας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. 45 καὶ ἐγένετο πρὸ

1 ειπον δε z, και ειπα c | 1 post δε + εγω mt | 1 πορευσεται η γυνη b, πορευθη η γυνη Ac, βουληται η γυνη πορευθηναι a, πορευθησεται η γυνη mt, μη πορευθη η γυνη z | 2 ειπεν Amt¹ | 2 ο θεος > D [teste Grabio] | 2 ευηρεστησω z | 3 αποστελει D [GB] cmtz | 3 με uocis μετα in rasura manu secunda A | 4 ευωδωσει m, ευοδωση z | 4 λημψη AD [GB] | 6 απο abcmtz, εκ A | 6 γαρ] δε mt, > z | 6 εαν > tz | 7 την φυλην μου Aabz, την εμην φυλην D [GB] cmt | 7 μη σοι δωσι bcz, μη δωσιν σοι AD [GB], μη σοι δωσωσι a, μη σοι δωσιν mt | 7 και alterum > D [GB] c | 8 μου uocis ορκισμου usque ad και 11 supersunt ex S. | 8 ορκισμου σου c | 8 ειπον cz | 9 ευοδεις συ z | 10 εν η bc, ην AD [GB] Samtz | 10 νυν > mt | 10 εγω prius in rasura prima manu m | 10 πορευσομαι a | 10 εν αυτη bc, επ αυτην AD [GB] Sa, εις αυτην mtz | 10 εγω alterum > ac | 11 εστηκα A [post tres literas radendo deletas: Baberus prima manu εφεστηκα fuisse contendit] D [GB] Sz | 11 την πηγην A, της γης της πηγης m | 11 και αι Aabcz, αι δε D [GB] mt | 11 θυγατεραις tz | 12 εκπορευονται αντλησαι bc, εξελευσονται υδρευσασθαι A [εξε et σ praecedentis πολεως in rasura A, cui prima manus inscripsit] D [GB] amtz | 13 ην αν t | 13 ποτησον t | 13/14 μικρον υδωρ εκ της υδριας σου AD [GB] mtz, μικρον υδωρ απο της υδριας σου c | 14 ειπε z | 14 και συ πιε abmtz, πιε συ Ac | 14/15 τας καμηλους t | 14 τοις z | 15 υδρευσωμαι m | 15 ητοιμασεν A | 16 θεραποντι αυτου ισαακ z | 16/17 εποιησας c | 17 αβραμ m¹, prima manu correctum | 17/1 προ του Aabcmtz, πριν η D [GB]

τοῦ συντελέσαι με λαλοῦντα ἐν τῇ διανοίᾳ μου εὐθὺς Ῥεβέκκα ἐξεπορεύετο ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων, καὶ κατέβη ἐπὶ τὴν πηγὴν καὶ ὑδρεύσατο. εἶπα δὲ αὐτῇ Πότισόν με. 46 *καὶ σπεύσασα καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς ἀφ' ἑαυτῆς καὶ εἶπε Πίε σύ, καὶ τὰς καμήλους σου ποτιῶ· καὶ ἔπιον, καὶ τὰς καμήλους ἐπότισε.* 47 *καὶ ἠρώτησα αὐτὴν καὶ εἶπα Θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι. ἡ δὲ ἔφη Θυγάτηρ Βαθουὴλ εἰμι υἱοῦ τοῦ Ναχώρ, ὃν ἔτεκεν αὐτῷ Μελχά. καὶ περιέθηκα αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλλια περὶ τὰς χεῖρας αὐτῆς.* 48 *καὶ εὐδοκήσας προσεκύνησα τῷ κυρίῳ, καὶ εὐλόγησα κύριον τὸν θεὸν τοῦ κυρίου μου Ἀβραάμ, ὃς εὐώδωσέ με ἐν ὁδῷ ἀληθείας λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου τῷ υἱῷ αὐτοῦ.* 49 *εἰ οὖν ποιεῖτε ὑμεῖς ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου· εἰ δὲ μή, ἀπαγγείλατέ μοι, ἵνα ἐπιστρέψω εἰς δεξιὰν ἢ ἀριστεράν.* 50 *ἀποκριθεὶς δὲ Λάβαν καὶ Βαθουὴλ εἶπαν Παρὰ κυρίου ἐξῆλθε τὸ πρᾶγμα τοῦτο· οὐ δυνησόμεθά σοι ἀντειπεῖν κακὸν ἢ καλόν.* 51 *ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου, λαβὼν ἀπό-*

1 *με συντελεσαι* ctz [m = b] | 1 *εν* > c | 1 *μου* > mtz | 1 *ευθυς* Aabz, *και ιδου* D [GB], *και ιδου ευθυς* c, *ευθυ* mt | 2 *τον ωμον* z | 3 *ειπον δε* z, *και ειπα* c | 4 post *με* + *μικρον υδωρ* c, + *υδωρ μικρον* z | 4 *καθειλεν* At^1 | 4 *επι τον βραχιονα* > D [GB] cmtz | 5 *αυτης* > mtz | 5 *ειπεν* Amt^1 | 5 *α* uocis *τας* prima manu in rasura A | 5 *σου* > z | 6 post *καμηλους* + *μου* AD [GB] cz | 6 *εποτισεν* A, *ισε* uocis *εποτισε* m manu prima in rasura, *εποτησεν* t^1, *εποτησε* t^2 | 6/7 *επηρωτησα* mt | 7 *ειπον* mtz | 7 *τινος θυγατηρ ει* Ac, *τινος ει θυγατηρ* mt, *τινος θυγατηρ* omisso *ει* z | 7 *αναγγειλον μοι* > D [GB] az | 8 *εφη*] *ειπε* cz | 8 post *ειμι* + *εγω* Acmtz | 8 *υιου του* b, *του υιου* AD [GB] mtz, *υιου* sine *του* a, *του* sine *υιου* c | 9 *α* uocis *περιεθηκα* prima manu in rasura alterius quoque literae capaci A | 9 post *ενωτια* + *επι τον βραχιονα αυτης* a | 9 *ψελια* AD [GB] c | 10 *περι* abcmtz, *επι* A | 10 *τῳ* > AD [GB] | 12 *ευωδωσε με* bm, *ευωδοσε με* a, *ευοδωσεν μοι* A: *μοι* ex D notauit Grabius: *ευοδωσε με* cz [*μ* z] | 13 *ποιειται* z | 14 *ελεον* z | 14 post *μου* + *απαγγειλατε μοι* complutensis, sequentibus non mutatis | 14 *ει δε μη* > AD [GB] amtz | 15 *απαγγειλαται* A | 15 post *μοι* + *ει δε μη* mt | 15 *υποστρεψω* z | 15 *δεξια η αριστερα* D [GB], *δεξια η εις αριστερα* cmt | 15 post *η* + *εις* Acmtz | 16 *αποκριθεντες* c | 16 *βαθουηλ και λαβαν* D [GB] | 16 *και και* z | 16 *βαιθουηλ* z | 16 *ειπον* cz | 17 *εξηλθεν* At^1 | 17 *πραγμα* abcz, *προσταγμα* AD [GB] mt | 17 ante *σοι* + *ουν* AD [GB], *ουν* omisso *σοι* mt | 17 *αντιπειν* Acz | 18 *καλον κακω* z | 18 *η καλον* bc, *καλω* AD [GB] am, *καλωι* t. „AA LL *κακον καλῳ*.

τρεχε· καὶ ἔστω γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου καθὰ ἐλάλησε κύριος. 52 *ἐγένετο δὲ ἐν τῷ ἀκοῦσαι τὸν παῖδα τοῦ Ἀβραὰμ τῶν ῥημάτων αὐτῶν, προσεκύνησεν ἐπὶ τὴν γῆν τῷ κυρίῳ.* 53 *καὶ ἐξενέγκας ὁ παῖς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμὸν ἔδωκε τῇ Ῥεβέκκᾳ, καὶ δῶρα ἔδωκε τῷ ἀδελφῷ αὐτῆς καὶ τῇ μητρὶ αὐτῆς.* 54 *καὶ ἔφαγον καὶ ἔπιον καὶ αὐτὸς καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ὄντες, καὶ ἐκοιμήθησαν. καὶ ἀναστὰς τὸ πρωὶ εἶπεν Ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.* 55 *εἶπαν δὲ οἱ ἀδελφοὶ αὐτῆς καὶ ἡ μήτηρ Μεινάτω ἡ παρθένος μεθ' ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ μετὰ ταῦτα ἀπελεύσεται.* 56 *ὁ δὲ εἶπε πρὸς αὐτοὺς Μὴ κατέχετέ με· καὶ κύριος εὐώδωσε τὴν ὁδόν μου ἐν ἐμοί· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.* 57 *οἱ δὲ εἶπαν Καλέσωμεν τὴν παῖδα καὶ ἐρωτήσωμεν τὸ στόμα αὐτῆς.* 58 *καὶ ἐκάλεσαν τὴν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ Πορεύσῃ μετὰ τοῦ ἀνθρώπου τούτου; ἡ δὲ εἶπε Πορεύσομαι.* 59 *καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραὰμ καὶ τοὺς μετ' αὐτοῦ.* 60 *καὶ εὐλό-*

schol *ο συρος η καλον η κακον*“ b mg | 18 *ενωπιον* Aabmt, *εναντιον* D [GR] cz

1 *ελαλησεν* At[1] | 2 post *κυριος* + *ο θεος* z | 2 *του* abcmtz, *τον* AD [superest *ν* ante *αβρααμ*] | 3 *αυτων* abcmtz, *τουτων* AD [GR] | 3 *τω* > Am, habet D [superest *ω* ante *κ̅ω̅*] | 4 *προσενεγκας* c [D = b] | 4 ante *χρυσα* + *σκευη* D | 5 *εδωκεν* utroque loco A, priori D, priori *δεδωκε* a, altero *εδωκεν* t[1] | 5 *τη* > ADamtz | 5 *ρεβεκκαν* z | 6 *αυτης* alterum > z | 6 *και* quartum > AD [GR] cmtz | 8 post *αναστας* + *ο παις* c [non D] | 8 *το* > ADamtz | 8 post *ειπεν* + *ο παις* z | 8 *εκπεμψαται* A. syllaba *τε* huius imperatiui denuo incipit E | 9 *ειπον* cz [non D] | 9 *αυτης* post *μητηρ* ponit E | 10 *μεθ ημων η παρθενος ημερας ωσει δεκα* E | 10/11 *μετ αυτα* D [GR], *μετα τουτο* c | 11 *απελευσεσθε* z | 11 *ειπεν* AEmt[1] | 11 *κατεχεται* mt | 12 post *και* + *γαρ* Emt | 12 *ευωδωσεν* t[1], *ευοδωσεν* AE, *ευωδοσε* a, *ευοδωσε* z | 12 *μου*] *αυτου* a | 12 *εν εμοι* > ADEcmtz | 12 *εκπεμψαται* t, sed *αι* in rasura? | 13 *οι δε ειπον* m, *ειπον δε* cz | 13/14 *καλεσομεν* z | 14 *και* prius > c | 14 *ερωτησομεν* m, *επερωτησωμεν* AD [GR: superest *επ*] | 15 *την* > AD [GR] Eamt | 15 *ρεβεκκα* m | 15 *ειπον* cz | 16 *η δε* Eabcmtz, *και* A | 16 *ειπεν* AEt[1] | 17 ante *ρεβεκκαν* + *την* c | 17 *ρεβεκκα* m | 17 „Aquila *και την τιτθην αυτης*, Symmachus *και την τροφον αυτης*“ in margine b | 18 *του* Eabcmt, *τον* AD [GR], > z | 18 *αυτου*] *αυτων* m, *αυτον* t | 18/1 *ηυλογησαν* E

γησαν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ Ἀδελφὴ ἡμῶν εἶ· γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων. 61 *ἀναστᾶσα δὲ Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ ἐπορεύθησαν μετὰ τοῦ ἀνθρώπου· καὶ ἀναλαβὼν ὁ παῖς τὴν Ῥεβέκκαν ἀπῆλθεν.* 62 *Ἰσαὰκ δὲ διεπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· αὐτὸς δὲ κατῴκει ἐν τῇ γῇ τῇ πρὸς λίβα.* 63 *καὶ ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε καμήλους ἐρχομένας.* 64 *καὶ ἀναβλέψασα Ῥεβέκκα τοῖς ὀφθαλμοῖς εἶδε τὸν Ἰσαὰκ καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου,* 65 *καὶ εἶπε τῷ παιδὶ Τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῖν; εἶπε δὲ ὁ παῖς Οὗτός ἐστιν ὁ κύριός μου· ἡ δὲ λαβοῦσα τὸ θέριστρον περιεβάλετο.* 66 *καὶ διηγήσατο ὁ παῖς τῷ Ἰσαὰκ πάντα τὰ ῥήματα, ἃ ἐποίησεν.* 67 *εἰσῆλθε δὲ Ἰσαὰκ εἰς τὸν οἶκον τῆς*

1 *ρεβεκκα* m | 1 post *ρεβεκκαν* + *την αδελφην αυτων* AD [GR: superest *ελφη*] Ecmtz | 1 *ειπον* cz | 2 *χειλιαδας* D [superest *χειλια*] | 2/3 *και* 2 usque ad *των υ* 3 „atramento nouo obductae a manu recenti“ A | 3 *αναστα* A^1, prima manu correctum | 3 ante *ρεβεκκα* + *η* c, post *ρεβεκκα* + *απηλθεν* D [GR: spatium assentitur] | 4 *αβραι*] „Aquila *παιδισκαι*, Symmachus *κορασια*“ in margine b | 5 *μετα του ανθρωπου* Eabcmt, *μετα του* A, in quo *το* [non *υ* sequens?] „rescriptae sunt a manu recenti: cetera perierunt cum pergamena abscissa“ | 5 *και αναλαβων* ADabcmtz, *αναλαβων δε* E | 5 *ρεβεκκα* m | 6 *επορευετο* ADEcmtz | 7 *τη* alterum > Ecz | 8 *και εξηλθεν*] *εξηλθε δε* c | 8 *αδολεσχισαι* z | 8 „Symmachus *λαλησαι εν τω αγρω*. Aquila *ομιλησαι εν χωρα*. schol *εξηλθε κατα μονας τοις ιδιοις λογισμοις ενομιλησαι. ου προσκειται δε τίνι. εικοτως, επει μηδε ανθρωπων η τοιαυτη ομιλια γινεται, αλλ ητοι προς θεον η αυτου τινος προς εαυτον*“ b in margine | 8 *εν τω πεδιω* c | 8 *παιδιον* A | 8 *το* alterum > Ec | 9 *δειλην* c, *δηλης* z | 9 *αυτου* > ADEcmtz | 9 *ιδεν* AD [superest *ιδ*] E, *ειδεν* t^1, *ιδε* z | 11 *ιδεν* AE, *ειδεν* t | 12 *ειπεν* AEt^1 | 12 *παιδιω* z | 12 *τι* z | 12 *εκεινος* > z | 13 *εν τω πεδιω* > E | 13 *παιδιω* A | 13 *ημων* Ecmtz | 13 *ειπεν* AEt^1 | 14 integer et 15 usque ad *ο παις* > z | 14 *εστιν* > c | 14 *θεριστον* t | 16 *α εποιησεν* ADabcz, *ταυτα* E, *ταυτα α εποιησε* [sic] m, *ταυτα α εποιησεν* t | 16 *εισηλθεν* ADEt | 16/1 „Aquila *εισηγαγεν αυτην εις την σκηνην σαρρας της μητρος αυτου*“ b^{ms}. idem m | 16/1 *της μ* prima manu in rasura A

μητρὸς αὐτοῦ καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτοῦ
γυνή, καὶ ἠγάπησεν αὐτήν· καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάρ-
25 *ρας τῆς μητρὸς αὐτοῦ.* 1 *προσθέμενος δὲ Ἀβραὰμ ἔλαβε*
γυναῖκα, ᾗ ὄνομα Χεττούρα. 2 *ἔτεκε δὲ αὐτῷ τὸν Ζομβρᾶν*
καὶ τὸν Ἰεζὰν καὶ τὸν Μαδὰλ καὶ τὸν Μαδιὰμ καὶ τὸν
Ἰεσβὼκ καὶ τὸν Σωιέ. 3 *Ἰεζὰν δὲ ἐγέννησε τὸν Σαβὰ καὶ*
τὸν Δεδάν· υἱοὶ δὲ Δεδὰν Ἀσσουριεὶμ καὶ Λατουσιεὶμ καὶ
Λαωμείμ. 4 *υἱοὶ δὲ Μαδιὰμ Γεφὰρ καὶ Ἀφεὶρ καὶ Ἐνὼχ*
καὶ Ἀβειδὰ καὶ Ἐλδαγά. πάντες οὗτοι ἦσαν υἱοὶ Χεττούρας·
5 *ἔδωκε δὲ Ἀβραὰμ πάντα τὰ ὑπάρχοντα αὐτοῦ Ἰσαὰκ τῷ*
υἱῷ αὐτοῦ. 6 *καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτοῦ ἔδωκεν*
Ἀβραὰμ δόματα, καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ Ἰσαὰκ τοῦ

1 *ελαβεν* ADEt^1 | 1 *ρεβεκκα* mz | 2 *και ηγαπησεν αυτην* > m [habet t] | 3 *σθε* uocis *προσθεμενος* manu secunda in rasura A | 3 *δε* > E | 3 *ελαβεν* AEt^1 | 4 post *χεττουρα* + *και* z | 4 *ετεκεν* ADEt^{1}z | 4 *δε* > z | 4 *ζεβραν* A^{1}Et, *ζεμβραν* A^{2}cm, *ζεμβραμ* z | 5 *ιεηξαν* A^1?, *ιεξαν* A^{2}D[GR], *ιεκταν* Ecmt | 5 *μαδαλ* bc, *μαδαιμ* A, in quo „corrector quidam scalpro erasit *μ*“. *μαδαν* D [GR] Emt, *μαδα* a, *μανδαν* z | 5 *μαδιαν* c [sed 8 *μαδιαμ* c], *μαδαιμ* mt | 6 *ιεσβοκ* Ac, *ιεσβουκ* D [GR], *ιεσοκ* E, *ιεβωκ* a, *ιεσβαυκ* mt | 6 *σωυε* ADE, *σοβε* c, *σουε* mt | 6 *ιεζαν* hoc loco etiam A^1: *ιεξαν* A^2, sed *ξ* in rasura manu recenti, *ιεκταν* Ecmt | 6 *εγενησεν* A, si Babero fides. *εγεννησεν* E | 6 *σαβα* Eabc, *σαβαν* AD [GR] mt, *σαλωτ* z | 7 ante *τον* + *τον θαιμαν και* AD [GR] mt, + *τον θεμαν και* Ez, + *τον θαμαν και* a | 7 priori loco *δεδαν* abc, *δαιδαν* AD [GR], *μαδιαμ* E, *δαιμαν* mtz | 7 *δε* > c | 7 altero loco *δεδαν* abc, *δαιδαν* AE, *δαιδαμ* D [GR: superest *δαιδα*], *δαιμαν* mtz | 7 post *δεδαν* alterum + *εγενοντο ραβουηλ και ναβδεηλ και* A, + *εγενοντο ρασουηλ και ναβδεηλ και* D [GR: superest *γεν ρασου και*], + *εγενοντο ραγουηλ και ναβδεηλ και* Eamt, + *εγενοντο ραγουηλ ναυδεηλ* z, + *εγενοντο* c | 7 *ασσουριειμ* D [GR: superest *α σο*] abcmt, *ασουριμ* A, *ασσουριηλ* E, *ασουριειμ* z | 7 *λατουσιειμ* AEbmt, *λατουριειμ* D [GR: superest *ριειμ*] a, *λαττουσιειμ* c, *λατωσιειμ* z *και* non praemisso | 8 *λαωμειμ* b, *λοωμειν* AD [GR: superest *λοωμ*: „sed recentiori manu scriptum *ειν*“] E, *λαωμιειμ* c, *λοωμειμ* amt, *λωωμιν* z | 8 *γαιφαρ* D [GR] Emt | 8 *και* utrumque > z | 8 *αφερ* AD [„sed forte prius fuit *αφειρ*. nam litera *ε* recentiori manu super lituram scripta“ GR] Emrtz | 8 *ενωκ* z | 9 *και* prius > z | 9 *αβιρα* AD [GR] z, *αβια* E, *αβιδα* c, *αβιδρα* mt | 9 *ελδαγα* ab, *θεργαμα* A, *θερπαμα* D [GR: superest *ερπαμ*], *αραγα* E^1, *εραγα* E^2, *ραγα* c, *σεργαμα* mt, *θασα* z | 9 *παντες ουτοι* DEabcmt, *ουτοι παντες* A, *ουτοι παντες ουτοι* z | 10 *εδωκεν* ADEt^1 | 10/11 *του υιου* z | 10 *αυτω* m | 11 *παλακων* mtz | 11/12 *εδωκε δοματα αβρααμ* mt^2 [t^1 *εδωκεν*] | 12 *δωματα* Ez

*υἱοῦ αυτοῦ ἔτι ζῶντος αὐτοῦ πρὸς ἀνατολὰς εἰς γῆν ἀνατο-
λῶν.* 7 *ταῦτα δὲ τὰ ἔτη ἡμερῶν τῆς ζωῆς Ἀβραάμ, ὅσα ἔζησεν,
ἑκατὸν ἑβδομηκονταπέντε ἔτη.* 8 *καὶ ἐκλείπων ἀπέθανεν
Ἀβραὰμ ἐν γήρᾳ καλῷ, πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ
προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.* 9 *καὶ ἔθαψαν αὐτὸν Ἰσαὰκ
καὶ Ἰσμαὴλ οἱ υἱοὶ αὐτοῦ εἰς τὸ σπήλαιον τὸ διπλοῦν, εἰς
τὸν ἀγρὸν Ἐφρὼν τοῦ Σαὰρ τοῦ Χετταίου, ὅς ἐστιν ἀπέναντι
Μαμβρῇ.* 10 *τὸν ἀγρὸν καὶ τὸ σπήλαιον, ὃ ἐκτήσατο Ἀβραὰμ
παρὰ τῶν υἱῶν τοῦ Χέτ, ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάρραν
τὴν γυναῖκα αὐτοῦ.* 11 *ἐγένετο δὲ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ
εὐλόγησεν ὁ θεὸς τὸν Ἰσαὰκ υἱὸν αὐτοῦ· καὶ κατῴκησεν Ἰσαὰκ
παρὰ τὸ φρέαρ τῆς ὁράσεως.* 12 *αὗται δὲ αἱ γενέσεις Ἰσμαὴλ
τοῦ υἱοῦ Ἀβραάμ, ὃν ἔτεκεν Ἄγαρ ἡ αἰγυπτία ἡ παιδίσκη
Σάρρας τῷ Ἀβραάμ.* 13 *καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν
Ἰσμαὴλ κατ' ὀνόματα τῶν γενεῶν αὐτοῦ· πρωτότοκος Ἰσμαήλ,
καὶ Ναβαϊὼθ καὶ Κηδὰρ καὶ Ναβδεὴλ καὶ Μασσὰμ* 14 *καὶ
Μασμὰ καὶ Δουμὰ καὶ Μασσῆ* 15 *καὶ Χοδδὰν καὶ Θαιμὰν*

1 ante *γην* + *την* z | 2 *της* > ADEamtz | 2 *οσας* t | 2 *εζησε* t[2] | 3 *ροε ετη* mtz | 3 *εβδομηκοντα* sine *πεντε* E | 3 *ἐκλιπὼν* cz | 4 „Aquila et Symmachus *εν πολιᾳ αγαθῃ*“ b[mg] | 4 *γηρει* ADEmtz | 4 *πρεσβυτερος* mtz | 4 *πληρεις* mz | 5 *τον λαον* Aabcmtz, *τους πατερας* D [GR: superest *τους πα ας*] E. „schol *προς τους περατας*“ b[mg], quem facile uides *πατερας* uoluisse | 6 post *οι* + *δυο* AEamt | 7 in margine m: *εφρων χους η γηινος η σποδος. σααρ μεσημβριας. ιδουμα σιωπη. μαμβρη απο ορασεως. μασσι επαρσις. ισμαηλ ακοη θεου. χολδαδ μετρον κενουμενον. ναβαιωθ προφητεια. θεμαν συντελεια. κηδαρ συσκοτασμος. ιετουρ εξορισμος. ναβδεηλ δουλευων θεω. ναφες αναψυχη. μασμαν προσοχη ἢ ακοη. κεδμα εμπροσθιος. μασσαν εξ ηδυσμων. ευιλατ ωδινουσα. σουρ τειχος* | 7 *εφρων*] *χεβρων* mt | 7 ante *του* prius + *το* mt | 7 ante *σααρ* + *υιου* a | 7 *ος* Eabcmtz, *ο* AD [GR] | 8 *ον* mt | 9 *παρα των υιων του χετ* > E | 9 *του* > Az | 9/11 quae inter *και* 9 et *αυτου* 11 media, > z | 11 *ηυλογησεν* E | 11 *τον* > c | 11 ante *υιον* + *τον* Ac | 13 *του* > mt | 13 *η αιγυπτια* > AD [GR] Eaz | 13 *η* alterum > E | 14 *σαρρα* z | 15 *κατ*] *και τα* Ec, *κατα το* z | 15 *ονομα* AD [GR] amtz | 15 post *αυτου* + *κατ ονομα των γενεων αυτου* c | 16 et 17 *και* semper omittit z | 16 *και* primum > AD [GR] Ecmtz | 16 *ναβαιωθ* Aabmt, *ναιβεωρ* E, *ναβεωθ* c, *ναβαιωτ* z | 16 *κιδαρ* t | 16 *ναβδαιηλ* D [GR], *αβδιηλ* mt | 16 *μασσαν* D [GR] cmt, *μαβσαμ* E, *μασομ* z | 17 *μασμαν* D [GR] Ec, *μασσαμ* m, *μασμαμ* t, > z | 17 *ιδουμα* AD [GR] cmt, *ιδουμαν* E, > z |

καὶ Ἰετοὺρ καὶ Ναφὲς καὶ Κεδμά. [16] οὗτοί εἰσιν οἱ υἱοὶ Ἰσμαήλ, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν καὶ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν· δώδεκα ἄρχοντες κατὰ ἔθνη αὐτῶν. [17] καὶ ταῦτα τὰ ἔτη τῆς ζωῆς Ἰσμαήλ, ἑκατὸν τριακονταεπτὰ ἔτη· καὶ ἐκλείπων ἀπέθανε, καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ. [18] κατῴκησε δὲ ἀπὸ Εὐιλὰτ ἕως Σούρ, ἥ ἐστι κατὰ πρόσωπον Αἰγύπτου, ἕως ἐλθεῖν πρὸς Ἀσσυρίους· κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατῴκησε. [19] καὶ αὗται αἱ γενέσεις Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. [20] ἦν δὲ Ἰσαὰκ ἐτῶν τεσσαράκοντα, ὅτε ἔλαβε τὴν Ῥεβέκκαν, θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας Συρίας, ἀδελφὴν Λαβὰν τοῦ Σύρου, ἑαυτῷ εἰς γυναῖκα. [21] ἐδέετο δὲ Ἰσαὰκ κυρίου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν· ἐπήκουσε δὲ αὐτοῦ ὁ θεός, καὶ συνέλαβεν ἐν γαστρὶ Ῥεβέκκα ἡ γυνὴ αὐτοῦ. [22] ἐσκίρτων δὲ τὰ παιδία ἐν αὐτῇ· εἶπε δὲ Εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο; ἐπορεύθη δὲ πυθέσθαι παρὰ κυρίου. [23] καὶ

17 *μασση* AEabcmtz, *μανασση* D [GR] | 17 *χοδδαν* Aab, *χαλδα* D [GR], *χοδδαδ* E, *χολδαδ* cmt, > z | 17 *θημαν* D [GR] Emt, *θεμαν* cz

1 *και* primum et secundum > z | 1 *ιεττουρ* D [GR] E, *θητουρ* cmt, > z | 1 *ναφεθ* D [GR], *ναφεις* c. post *ναφες* + *μασμαν ιδουμα χολδαμ ιετουρ* z | 1 *κεδμαν* D [GR] mt, *κεδεμα* c | 1 *οι* > Emz | 2 *αυτων* alterum > z | 2/3 *εν ταις επαυλεσιν αυτων και εν ταις σκηναις αυτων* c | 3 *εθνος* Aaz, *τα εθνη* mt | 4 *ετη*] *εθνη* D [GR], *ετη ημερων* mtz | 4 *της* > D [GR], eius loco *ημερων* E | 4/5 *ρλζ ετη* tz | 5 *ἐκλιπὼν* cz | 5 *απεθανεν* AEct¹ | 6 *το γενος* Aabcmtz, *τους πατερας* E | 6 *κατωκησεν* At¹, *και κατωκησεν* E | 6 *δε* > E | 6 *ευειλατ* AD [GR] | 6 *σουρ* Eabcmtz, *σουηλ* A | 7 *εστιν* AE | 7 post *προς* + *τους* E | 7 *ασυριους* t | 8 *κατωκησεν* AEcmt | 8/9 *και αυται* Aabcz, *αυται δε* D [GR] Emt | 9 *του* > mt | 9/10 *εγεννησεν* AE | 10 *τεσσερακοντα* AD [GR], *μ* z | 10 *μγ* m, *τεσσαρακοντια τριων* t | 10 *ελαβεν* AE | 11 *την* > z | 11 *ρεβεκκα* m | 11 *του συρου εκ της μεσο* in rasura manu prima A | 11/12 quae inter *εκ* 11 et *συρου* 12 media, > ac | 11/12 *εκ της μεσοποταμιας συριας αδελφην λαβαν του συρου εαυτω* > E | 12 *συριας* > AD [GR] z | 12 post *αδελφην* + *δε* z | 12 *εις* > AD [GR] cz | 13 *εδειτο* AEaz | 13 *κυριου* > cz | 13 *ρεβεκκας* > z | 14 post *αυτου* prius + *ρεβεκκας* z | 14 ante *οτι* + *του κυριου* c | 14 *ην στειρα* Ec | 14 *επηκουσεν* AEt¹, *εισηκουσε* a, *υπηκουσε* z | 14 *αυτω ο θεος* E, *αυτωι ο θεος* mt | 15 *συνελαβε ρεβεκκα εν γαστρι* c | 15 *ελαβεν* AD [GR] Eamtz | 15 *εγγαστρι* At | 15 *εσκιρτων*] „Symmachus *διεπαλαιον*“ b^mg | 16 *ειπεν* AEt¹ | 16 *ουτως* AD [GR] Emt | 16 *μοι* > z | 16 *γενεσθαι* Ea | 17 *πειθεσθαι* z

εἶπε κύριος αὐτῇ Δύο ἔθνη ἐν γαστρί σου εἰσί, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασταλήσονται· καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. 24 καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ τῇδε ἦν δίδυμα ἐν τῇ κοιλίᾳ αὐτῆς. 25 ἐξῆλθε δὲ ὁ πρωτότοκος πυρράκης ὅλος, ὡσεὶ δορὰ δασύς· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἡσαῦ. 26 καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἡσαῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰακώβ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἔτεκεν αὐτοὺς Ῥεβέκκα. 27 ηὐξήθησαν δὲ οἱ νεανίσκοι· καὶ ἦν Ἡσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροικος, Ἰακὼβ δὲ ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν. 28 ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ· Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ. 29 ἥψησε δὲ Ἰακὼβ ἕψημα· ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων. 30 καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακὼβ Γεῦσόν με ἀπὸ τοῦ ἑψέματος πυρροῦ τούτου, ὅτι ἐκλείπω· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ. 31 εἶπε δὲ Ἰακὼβ τῷ Ἡσαῦ Ἀπόδου μοι σήμερον τὰ πρωτοτόκιά σου ἐμοί. 32 καὶ εἶπεν Ἡσαῦ Ἰδοὺ ἐγὼ πορεύο-

1 ειπεν AEt[1] | 1 post αυτη + ιδου z | 1 εν τη γαστρι AD [GR] Ecmtz [τηι mt] | 1 εισιν AE, εστι z | 3 ελαττονι m[1] | 4 του του E | 4 κοιλια Eabcmt, γαστρι Az | 5 εξηλθεν AEt[1] | 5 post δε + ο υιος AD [GR] amtz, + ο υιος αυτης E | 5 πυρακκιος c, πυρρακις t | 5 ολως z? | 5 post ολος + και c | 5 δορρα z | 6 επωνομασεν At[1], επονομασεν E, επονομασε z | 6 δε > z | 7 τουτο AEabcmtz, ταυτα D [GR] | 7/8 επιλημμενη AEt, επηλειμμενη z | 8 εκαλεσεν AEt[1] | 9 ετων ξ z | 9 ετεκεν Eabcmtz, εγεννησεν A | 9 αυτω η ρεβεκκα z | 10 ηυξηνθησαν c et ex correctura seriori t | 10 ανθρωπος ειδως > z | 11 κυνηγος z | 11 post δε + ην Ac | 11 απλαστος ανθρωπος z | 11 αβλαστος A. „Aquila απλους, Symmachus αμωμος" b[mg] | 12 οικιαν etiam D, εν οικια ay | 12 ηγαπησεν ADEt[1] | 12 η > c | 13 δε prius > t | 13 ηψησεν ADEt[1] | 14 εψεμα ADE | 14 post εψημα + φακου c | 14 ηλθεν AEt[1] | 14 παιδιου A, παιδειου t | 14/15 και ειπεν] ειπε δε c | 15 β uocis ιακωβ manu prima in rasura A | 15 με] μοι mt | 15 απο] εκ c | 15 εψεματος AEb [male uulgo e romana editione εψηματος proferunt, quum bis (in capite et in margine) εψεματος sit] yz, εψηματος acmt | 15 ante πυρρου + του AD [GR: superest τ] Eamtyz. ibidem + σου του c | 15 πυρου Eayz | 15 πυρρου] „Symmachus αδαμ" b in margine | 16 post εκλειπω + εγω A | 16 τουτο Eabcmtz, το A in fine uersus | 17 ειπεν ADEt[1] | 17 αποδους E, αποδος mt | 18 πρωτοτοκια A hoc loco, semper E excepto 98, 5. πρωτοτοκα ay | 18 εμοι > D [GR: uel nunc clarum] c | 18 και ειπεν Eabmt, ειπεν δε AD, ειπε δε cz | 18 ιδου > E

μαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια; [33]καὶ εἶπεν αὐτῷ Ἰακὼβ Ὅμοσόν μοι σήμερον. καὶ ὤμοσεν αὐτῷ· ἀπέδοτο δὲ Ἠσαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ. [34]Ἰακὼβ δὲ ἔδωκε τῷ Ἠσαῦ ἄρτον καὶ ἕψημα φακοῦ· καὶ ἔφαγε καὶ ἔπιε, καὶ ἀναστὰς ᾤχετο· καὶ ἐφαύλισεν Ἠσαῦ τὰ πρωτοτόκια.

26 [1]ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ καιρῷ τοῦ Ἀβραάμ· ἐπορεύθη δὲ Ἰσαὰκ πρὸς Ἀβιμέλεχ βασιλέα Φυλιστιεὶμ εἰς Γέραρα. [2]ὤφθη δὲ αὐτῷ κύριος καὶ εἶπε Μὴ καταβῇς εἰς Αἴγυπτον· κατοίκησον δὲ ἐν τῇ γῇ ᾗ ἄν σοι εἴπω. [3]καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ καὶ ἔσομαι μετὰ σοῦ καὶ εὐλογήσω σε· σοὶ γὰρ καὶ τῷ σπέρματί σου δώσω πᾶσαν τὴν γῆν ταύτην, καὶ στήσω τὸν ὅρκον μου, ὃν ὤμοσα τῷ Ἀβραὰμ τῷ πατρί σου. [4]καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ· καὶ δώσω τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην· καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς· [5]ἀνθ᾽ ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τὰ δικαιώματά μου καὶ τὰ νόμιμά μου. [6]κατῴκησε δὲ

1 τελευτησαι D [GR] | 1 πρωτοτοκεια Aay, ρωτοτοκια superest ex D | 2 med ωμοσον Emt, ωμωσον z | 2 αυτω alterum αυτο scribit z | 3 δε prius > mt | 3 πρωτοτοκεια Aay, sed πρωτοτοκια etiam D. πρωτοκια t | 3 τω ιακωβ] αυτου c, αυτου τω ιακωβ z | 3 τω > E | 4 εδωκεν ADEmt | 4 τω > mt | 4 εψεμα ADEz | 4 εφαγεν AEt[1] | 4 επιεν ADEt[1] | 5 απωχετο e | 5 εφαυλησεν tz | 5 πρωτοτοκεια Aay, sed πρωτοτοκια etiam D. πρωτοκια E | 5 post πρωτοτοκια + αυτου c | 6/7 προτερου DEc | 7 εγενετο Eabcmtz, εγενηθη A | 7 εν] επι t | 7 καιρω bmt, χρονω AD [GR] Eacyz | 7 του Aabctz, τω D [GR: superest ω] E, τωι m | 7 επορευθη δε] και επορευθη c | 8 φιλιστιειμ mz [D == b] | 9 κυριος Aabcmtz, ο θεος E | 9 ειπεν ADEt[1] | 10 εν τη γη prius > t | 10 post γη prius + ταυτη Em | 10 η αν σοι ειπω > mt | 10 ην αν E | 10/11 και παροικει εν τη γη ταυτη > D [GR], και παροικει εν τη γη > mt | 10 παροικησεις ay, παροικησει z | 11 συ γαρ z | 12 πασαν > Ect, post ταυτην ponit z | 12 ταυτην > ay | 12/15 quae inter και 12 et ταυτην 15 media, > m | 13 τω prius > ADEctz | 15 post δωσω + σοι και tz | 15 πασαν > t | 15/16 ενευλογηθησονται AD [GR] Eamtz | 16 εθνη Aabcmtz, περατα E | 17 επηκουσεν z | 17 ο πατηρ σου > mt | 18 εφυλαξεν AE | 18 εφυλαξε τας εντολας μου και τα προσταγματα μου z | 18 ante τα + παντα c | 18 και τας εντολας μου > mt | 19 μου prius > z | 19 ante τα alterum + παντα c | 19 τα alterum > z | 19 κατωκησεν δε Dt[1], και κατωκησεν A, παρωκησεν δε E

Ἰσαὰκ ἐν Γεράροις. 7 ἐπηρώτησαν δὲ οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ εἶπεν Ἀδελφή μου ἐστίν· ἐφοβήθη γὰρ εἰπεῖν ὅτι Γυνή μου ἐστί, μήποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν. 8 ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ· καὶ παρακύψας Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων διὰ τῆς θυρίδος εἶδε τὸν Ἰσαὰκ παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ. 9 ἐκάλεσε δὲ Ἀβιμέλεχ τὸν Ἰσαὰκ καὶ εἶπεν αὐτῷ Ἀρά γε γυνή σου ἐστί; τί ὅτι εἶπας Ἀδελφή μου ἐστίν; εἶπε δὲ αὐτῷ Ἰσαὰκ Εἶπα γὰρ Μήποτε ἀποθάνω δι' αὐτήν. 10 εἶπε δὲ αὐτῷ Ἀβιμέλεχ Τί τοῦτο ἐποίησας ἡμῖν; μικροῦ ἐκοιμήθη τις ἐκ τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν. 11 συνέταξε δὲ Ἀβιμέλεχ παντὶ τῷ λαῷ αὐτοῦ λέγων Πᾶς ὁ ἁψάμενος τοῦ ἀνθρώπου τούτου καὶ τῆς γυναικὸς αὐτοῦ θανάτῳ ἔνοχος ἔσται. 12 ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατοστεύουσαν κριθήν· εὐλόγησε δὲ αὐτὸν κύριος. 13 καὶ ὑψώθη ὁ ἄνθρωπος, καὶ προβαίνων μείζων ἐγένετο ἕως οὗ

1 *και επηρωτησαν* c | 2 post *ειπεν* + *οτι* A | 3 *γαρ*] *δε* z | 3 *οτι* > D [GR] amtz | 3 *γυναικα* z | 3 *εστιν μηποτε* ADEmt¹ | 4 post *ρεβεκκας* + *της γυναικος αυτου* mtz | 5 *ωραια ην τη οψει* E, *ην ωραια τη οψει* c, *ωραιαν ην τη οψει* z | 5/6 *και παρακυψας* ab, *παρακυψας δε* ADcmtz [*παρακυψας* in z bis scriptum], *παραχυψας* E | 6 *αβιμελεχ* > z | 6 *ο* > mt | 6 *γεραρων* > c | 6 *δια της θυριδος* > mt | 6 *ειδεν* b^mg t¹, *ιδεν* ADE | 7 *πεζοντα* Et. „schol *ευσχημονως ειρηται*" in margine b | 8 *εκαλεσεν* AEt¹ [non z] | 8 *δε* > z | 9 *σου εστιν* AEt¹ | 9 *τι ειπας οτι* mt | 9 *ειπες* z | 9 ante *αδελφη* + *οτι* Ecz | 9 *ειπεν* AEt¹ | 10 *αυτω* > mt | 10 *ειπον* z | 10 *μηποτε* AEabcmtz, *μη* D [GR] | 10 *αποθανη* A | 10 *ειπεν* AEt¹ | 11 *αυτω* > Emtz | 11 *τουτο* in E *το* super uersum scriptum habet | 11/12 *τις εκοιμηθη* c | 12 *εκ του γενους μου* > E | 12 *εκ* > AD [GR] âmtz | 12 *μετ αυτης της* m | 13 *αν* > AEcz, post *ημας* ponit m | 13 *αγνοιαν*] „Aquila et Symmachus *πλημμελημα*" b | 13 *συνεταξεν* AEt¹ | 14 *λεγων* > m | 14 *αψαμενος* bc, *απτομενος* AD [GR] Eamtz | 14 *και* bcz, *η* AD [GR] Eamt | 15 uerba *θανατου ενοχος εσται* in rasura manu prima A, quae rasura ante *θανατου* trium, post *ενοχος* nouem, post *εσται* septem aliarum literarum capax est | 15 *θανατου* AD [GR] Ecmtz | 15 *ενωχος* z | 15 *εσπειρεν* AEt¹ | 17 *εκαστοτευουσαν* ay, *εκατωστευουσαν* z. „Aquila *εκατον εικασμενον*" b | 17 ante *κριθην* + *την* m [non t] | 17 *ευλογησεν* A, *ηυλογησεν* D [GR] Emt¹, *ηυλογησε* t² | 17 ante *κυριος* + *ο* mz | 17/18 *και υψωθη ο ανθρωπος* > m [non t] | 18 *υψωθη* Aabctz,

μέγας ἐγένετο σφόδρα. [14]*ἐγένετο δὲ αὐτῷ κτήνη προβάτων καὶ κτήνη βοῶν καὶ γεώργια πολλά. ἐζήλωσαν δὲ αὐτὸν οἱ Φυλιστιείμ·* [15]*καὶ πάντα τὰ φρέατα, ἃ ὤρυξαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ καὶ ἔπλησαν αὐτὰ γῆς.* [16]*εἶπε δὲ Ἀβιμέλεχ πρὸς Ἰσαὰκ Ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα.* [17]*καὶ ἀπῆλθεν ἐκεῖθεν Ἰσαὰκ καὶ κατέλυσεν ἐν τῇ φάραγγι Γεράρων, καὶ κατῴκησεν ἐκεῖ.* [18]*καὶ πάλιν Ἰσαὰκ ὤρυξε τὰ φρέατα τοῦ ὕδατος, ἃ ὤρυξαν οἱ παῖδες Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ καὶ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· καὶ ἐπωνόμασεν αὐτοῖς ὀνόματα κατὰ τὰ ὀνόματα, ἃ ὠνόμασεν ὁ πατὴρ αὐτοῦ.* [19]*καὶ ὤρυξαν οἱ παῖδες Ἰσαὰκ ἐν τῇ φάραγγι Γεράρων, καὶ εὗρον ἐκεῖ φρέαρ ὕδατος ζῶντος.* [20]*καὶ ἐμαχέσαντο οἱ ποιμένες Γεράρων μετὰ τῶν ποιμένων Ἰσαάκ, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ· καὶ ἐκάλεσαν τὸ ὄνομα τοῦ φρέατος Ἀδικία· ἠδίκησαν γὰρ αὐτόν.* [21]*ἀπάρας δὲ ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον· ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου, καὶ*

ηυξηθη E | 18 *μειζον* E | 18 *εγινετο* AD [teste Grabio] | 18/1 *εως ου μεγας εγενετο* > z

1 init *εγινετο* A | 1 *αυτῳ* Eabcmtz, *αυτη* A | 2 *και* prius > z | 2/3 *αυτω οι φιλιστιειμ* m, *αυτωι οι φυλιστιειμ* t, *αυτων οι φιλιστιειμ* z | 4 *του πατρος* prius > D [GR] Eay | 4 post *αυτου* prius + *ενεφραξαν αυτα* c, quae postea omittit | 4 *εν τῳ χρονῳ του πατρος αυτου* > t | 4 post *χρονῳ* + *αβρααμ* z | 5 *φιλιστιειμ* z | 5 *ειπεν* AEt[1] | 6 *προς*] *τω* m | 6 *ισαακ* recentiori atramento super antiquas literas nescio quas in rasura m | 7 *ισαακ εκειθεν* D [GR] c | 7/8 *κατελυσεν* Aabcmtz, *κατωκησεν* E | 8 *και κατωκησεν εκει* > E, *και κατεσκηνωσεν εκει* ay | 9 *ωρυξεν* AEmt | 9 ante *τα* + *εκει* mt | 9 *α*] *ο* a | 10/11 quae inter *και* 10 et *αυτου* 11 media, > D [GR:?] | 10/11 *φιλιστιειμ* z | 11 *τον* > a | 12 init *επονομασεν* Ez | 12 *κατα τα ονοματα* > D [GR] z, *και τα ονοματα* ay | 12 *ονομασεν* z, *επωνομασεν* D [GR] Emt | 12 ante *ο* + *αβρααμ* AD [GR] mt, ibidem + *αυτοις* z | 13 *και ωρυξαν* Dabcmtz, *ωρυξαν δε* A | 14 *ευρεν* D [GR] cz, *ευραν* E | 14/15 „schol *εδικασαντο*" b | 15 *ποιμαινες* A | 15 *ποιμαινων* A | 15 ante *ισαακ* + *του* E | 16 *εκαλεσεν* AD [GR] Et[1], *εκαλεσε* mt[2]z | 17 post *φρεατος* + *εκεινου* Az, loco *φρεατος* c *τοπου εκεινου* | 17 „schol *συκοφαντια. εσυκοφαντησαν γαρ αυτον*" b | 17 post *δε* + *ισαακ* AD [GR] Emtz | 18 *ωρυξεν* AEt[1] | 18/2 quae inter *εκρινοντο* 18 et 101, 2 *ετερον* media, > E | 18 *περι*] *υπερ* c

ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐχθρία. [22] ἀπάρας δὲ ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Εὐρυχωρία, λέγων Διότι νῦν ἐπλάτυνε κύριος ἡμῖν καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς. [23] ἀνέβη δὲ ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. [24] καὶ ὤφθη αὐτῷ κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπεν Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου, μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμί, καὶ εὐλογήσω σε· καὶ πληθυνῶ τὸ σπέρμα σου δι' Ἀβραὰμ τὸν πατέρα σου. [25] καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου, καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ· ὤρυξαν δὲ ἐκεῖ οἱ παῖδες Ἰσαὰκ φρέαρ ἐν τῇ φάραγγι Γεράρων. [26] καὶ Ἀβιμέλεχ ἐπορεύθη πρὸς αὐτὸν ἀπὸ Γεράρων, καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φιχὼλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ. [27] καὶ εἶπεν αὐτοῖς Ἰσαὰκ Ἵνα τί ἤλθετε πρὸς μέ; ὑμεῖς δὲ ἐμισήσατέ με καὶ ἐξαπεστείλατέ με ἀφ' ὑμῶν. [28] οἱ δὲ εἶπαν Ἰδόντες ἑωράκαμεν ὅτι ἦν κύριος μετὰ σοῦ, καὶ εἴπαμεν Γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ, καὶ διαθησόμεθα μετὰ σοῦ διαθήκην [29] μὴ ποιῆσαι μεθ' ἡμῶν κακόν, καθότι οὐκ ἐβδελυξάμεθά σε ἡμεῖς, καὶ

1 *επωνομασεν* At¹, *επονομασε* z | 1 *αυτου*] *του τοπου εκεινου* c | 1 *εχθρια* A, de quo Baberus in uolumine quarto tacet. „Aquila et Symmachus *αντικειμενη*, *εναντιωσις*" b | 2 *ωρυξεν* Act¹ | 2 *εμαχησαντο* E, *εμαχευσαντο* z | 2 *και* alterum > z | 3 *επωνομασεν* AEt¹, *επονομασε δε* z | 4 *επλατυνεν* AEmt | 4 ante *κυριος* + *ο* mt | 5 post *κυριος* + *ο θεος* mt | 7 *ηυλογηκα* D [GR] E, *ευλογηκα* amtz. „AA LL *ευλογηκα σε*" b | 8 *δια* AD [GR] mz | 9 ante *και* alterum + *τω κυριω* Ez | 9 *επεκαλεσατο*] *επωνομασε* z | 9 ante *το* + *εκει* E | 11 *ισακ* a | 11 *φρεαρ* post *γεραρων* ponunt Emtz | 11 *εν τη φαραγγι γεραρων* > AD [GR] ay | 11 *τη* > mt | 12 *προς αυτον* > m | 12 *οχοζαχ* D [GR], *ὁ χοζαθ* a [y *ὁ* in fine uersus unius, *χοζαθ* initio alterius habet], *χοζατ* z | 13 *φικολ* AD [GR], *φιχολ* Eay, *φιγωρ* c, *φιλ* mt, *φιλοχ* z | 13 *ο* alterum > z | 14 *ηλθατε* AD [GR] E | 15 *εμεισησατε* A | 15 *απεστειλατε* Aay, *αποστειλατε* z | 15 *με* tertium > z | 16 *οι δε* ab, *και* AD [GR] Ecmtz | 16 *ειπον* cz | 16 ante *ιδοντες* + *αυτω* c, post *ιδοντες* + *σε* aty | 16 *ην* > z | 16 *κυριος ην* c | 17 *ειπομεν* cz | 17 *ημων*] *σου* c | 17 *ανα μεσον* alterum > z | 18 *σου και*] *ημων και* c | 18 *διαθησομαι* E | 18 *ποιησειν* AD [GR] amtyz, *ποιησιν* E | 19 ante *κακον* + *μηδεν* E | 19 *κακον* A¹ teste Babero, nunc *κακα* sequente rasura unius literae capaci et *α* „a correctore perantiquo super rasura" scripto | 19 *ημεις σε ουκ εβδελυξαμεθα* A [sed Baberus, in uolumine quarto

ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς καὶ ἐξαπεστείλαμέν σε
μετ᾽ εἰρήνης· καὶ νῦν εὐλογημένος σὺ ὑπὸ κυρίου. 30 καὶ
ἐποίησεν αὐτοῖς δοχήν· καὶ ἔφαγον καὶ ἔπιον. 31 καὶ ἀνα-
στάντες τὸ πρωί, ὤμοσεν ἕκαστος τῷ πλησίον· καὶ ἐξαπέ-
στειλεν αὐτοὺς Ἰσαάκ, καὶ ἀπῴχοντο ἀπ᾽ αὐτοῦ μετὰ σωτη-
ρίας. 32 ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ παραγενόμενοι
οἱ παῖδες Ἰσαὰκ ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος οὗ
ὤρυξαν, καὶ εἶπαν Οὐχ εὕρομεν ὕδωρ. 33 καὶ ἐκάλεσεν αὐτὸ
Ὅρκος· διὰ τοῦτο ἐκάλεσεν ὄνομα τῇ πόλει ἐκείνῃ Φρέαρ
ὅρκου ἕως τῆς σήμερον ἡμέρας. 34 ἦν δὲ Ἠσαῦ ἐτῶν τεσσα-
ράκοντα καὶ ἔλαβε γυναῖκα Ἰουδίθ, θυγατέρα Βεὼχ τοῦ
Χετταίου, καὶ τὴν Βασεμάθ, θυγατέρα Ἐλὼν Χετταίου·
27 35 καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. 1 ἐγένετο
δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαὰκ καὶ ἠμβλύνθησαν οἱ ὀφθαλ-
μοὶ αὐτοῦ τοῦ ὁρᾶν· καὶ ἐκάλεσεν Ἠσαῦ τὸν υἱὸν αὐτοῦ τὸν

tacens, ex alexandrino edidit εκβδελυξαμεθα] D [GR] Emt, ημεις ουκ εβδελυξαμεθα a, sed y = ADE. και ημεις σε ουκ εβδελυσσομεθα z

1 εχρημεθα A | 1 σοι] σου c | 2 μετα c | 2 ευλογημενος συ bc, συ ευλογητος AD [GR] Eay, εση ευλογητος συ m, εση συ ευλογητος t, συ ευλογημενος z | 2 κυριου] θεου mt | 3 αυτους mt | 3/4 quae inter και secundum 3 et πλησιον 4 media, > z | 4 super ο uocis το E scripsit ω | 4 τω πρωι m, τωι πρωι t | 4 ωμοσαν AD [GR] | 4 εκαστος bc, ανθρωπος AD [GR] Eamty | 4 post πλησιον + αυτου AD [GR] Eamty | 6 παραγεναμενοι E, > z | 7 απηγγειλαν ισαακ οι παιδες αυτου περι z | 7 απηγγελαν E | 8 ειπον cz | 8 post ειπον suum + αυτῳ c | 8 ουχ > c | 8 αυτο Eabcmty, το ονομα αυτου AD [GR], ἀυτῶ z | 9 εκαλεσε cz | 9 ante ονομα + το AEcz | 9 τη πολει εκεινῃ] του τοπου εκεινου z | 9 εκεινῃ > AD [GR] Eamty | 10/11 μ ετων z | 10/11 τεσσερακοντα AD [GR] | 11 ελαβεν AEt¹ | 11 γυναικας z | 11 post γυναικα + την c | 11 ιουδιθ bc, ιουδιν A [non, ut uulgo traditur, ιουθιν] z, ιουδειν D [GR] Eamty | 11 ante θυγατερα + την Eamtyz | 11 βεωχ b, βεωρ c, βεηρ AD [GR], βαιηρ mt, βηρην z, βαιηλ E, βεηλ ay | 12 priori loco χετ᾽γαιου E | 12 βασεμαθ bc, μασεμμαθ AE, μασεμμα mt, βασεναμαθ D [GR: „ut uidetur: nam posteriores literae sunt exesae"], βασεμκαθ ay, ἀσεματ z | 12 αιλωμ AEmt, αιδωμ D [GR], ελωμ c, z = ab | 12 fin χετταιου b, του ευαιου Aamtyz, ευαιου D [GR], του χετ᾽γαιου E | 13 αιριζουσαι A | 13 ισαλκ E? | 14 μετα το] εν τω c | 14 τον > AD [GR] Ec | 14 ισακ A | 14 και > cm | 14 ηβλυωπησαν D [GR], ηνβλυωπησαν E, ημβλυθησαν c | 14/15 αυτου οι οφθαλμοι z | 15 του οραν > m | 15 ante οραν + μη D [GR] z | 15 και > z | 15 εκαλεσε z | 15 ησαυ] ισαακ mt, ησαυ z post αυτου alterum ponit | 15/1 το πρεσβυτερον c

πρεσβύτερον καὶ εἶπεν αὐτῷ Υἱέ μου. καὶ εἶπεν Ἰδοὺ ἐγώ. [2] καὶ εἶπεν Ἰδοὺ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου· [3] νῦν οὖν λάβε τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον καὶ θήρευσόν μοι θήραν. [4] καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ, καὶ ἔνεγκέ μοι, ἵνα φάγω· ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου πρὶν ἀποθανεῖν με. [5] Ῥεβέκκα δὲ ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἠσαῦ τὸν υἱὸν αὐτοῦ· ἐπορεύθη δὲ Ἠσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ. [6] Ῥεβέκκα δὲ εἶπε πρὸς τὸν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω Ἴδε, ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἠσαῦ τὸν ἀδελφόν σου λέγοντος [7] Ἔνεγκόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. [8] νῦν οὖν, υἱέ μου, ἄκουσόν μου καθὰ ἐγώ σοι ἐντέλλομαι· [9] καὶ πορευθεὶς εἰς τὰ πρόβατα λάβε μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ· [10] καὶ εἰσοίσεις τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν. [11] εἶπε δὲ Ἰακὼβ πρὸς Ῥεβέκ-

1 αυτῳ > c | 1 υιε > t | 1 μου και ειπεν ιδου εγω > Et | 1 μου > cz | 1 ante ιδου + αυτω A | 2 και ειπεν > Et, ειπε δε z | 2 ante ιδου + αυτω D [GB] m, + αυτῳ ay, + αυτω ισαακ z | 2 post ιδου + εγω mtz | 2 γεγηρηκα z | 3 σκευος A manu secunda in rasura | 3 σου > A | 4 post τοξον + σου E | 4 παιδιον AEm^1 [m^2 sero correctum] | 5 και alterum κα scribit E | 6 ενεγκον AE | 6 οπως] και c | 6 ευλογησει D [GB] Emz | 6 πριν Eabmty, προ του A, πριν η cz | 7 ηκουσεν AEmt, ηκουε ay | 7 ισαακ λαλουντος mt | 8 παιδιον Am^1 [m^2 sero correxit] t | 9 ρεβεκκα δε] και ρεβεκκα c | 9 post δε + ηκουσε λαλουντος ταυτα και z | 9 ειπεν AEt^1 | 10 τον primum > AD [GB] Eacmtyz | 10 ιακωβ > a [habet y], ισαακ A | 10 αυτης > E | 10 ελασσω] νεωτερον cz | 10 ιδου mt | 10 ante ηκουσα + εγω AD [GB] Ecmtz | 11 λαλουντος του πατρος σου cz | 11 ἱσαῦ a, ἡσαῦ y | 11/12 τον αδελφον σου > z | 12 ενεγκε z, θηρευσον c | 13 ινα] και cz | 13 ab εναντιον κυριου usque ad και εφαγε commatis 25 [105, 10] hiabat D iam Grabii tempore | 13/14 προ του αποθανειν με > c | 14 με αποθανειν z | 14 μου prius > AEtz | 14 μου alterum μοι scribit E | 15 εντελλομαι σοι A | 15 εντελλωμαι m | 16 αιριφους A | 16 post απαλους + τε mt | 17 αυτους > c | 17/18 ως φιλει και εισοισεις τῳ πατρι σου > z | 18 φαγηται a. de y dubitare possis, uidetur habere φαγηται | 18 ευλογησει Em [t=b] z | 19 αυτον > cz | 19 ειπεν AEt^1 | 19/1 προς ρεβεκκαν την μητερα αυτου > z | 19/1 ρεβεκκα m [t = b]

καν τὴν μητέρα αὐτοῦ Ἔστιν Ἠσαῦ ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος. 12 μήποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν, καὶ ἐπάξω ἐπ᾽ ἐμαυτὸν κατάραν καὶ οὐκ εὐλογίαν. 13 εἶπε δὲ αὐτῷ ἡ μήτηρ Ἐπ᾽ ἐμὲ ἡ κατάρα σου, τέκνον· μόνον ἐπάκουσόν μου τῆς φωνῆς, καὶ πορευθεὶς ἔνεγκέ μοι. 14 πορευθεὶς δὲ ἔλαβε καὶ ἤνεγκε τῇ μητρί· καὶ ἐποίησεν ἡ μήτηρ αὐτοῦ ἐδέσματα καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ. 15 καὶ λαβοῦσα Ῥεβέκκα τὴν στολὴν Ἠσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ᾽ αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν αὐτὴν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον. 16 καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ. 17 καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς. 18 καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ. εἶπε δὲ Πάτερ. ὁ δὲ εἶπεν Ἰδοὺ ἐγώ· τίς εἶ σύ, τέκνον; 19 καὶ εἶπεν Ἰακὼβ τῷ πατρὶ Ἐγὼ Ἠσαῦ ὁ πρωτότοκός σου, πεποίηκα καθὰ ἐλάλησάς μοι· ἀναστὰς κάθισον καὶ φάγε ἀπὸ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. 20 εἶπε δὲ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ Τί τοῦτο, ὃ ταχὺ εὗρες, ὦ τέκνον; ὁ δὲ εἶπεν Ὃ παρέδωκε κύ-

1 ησαυ > cz | 1 ανθρωπος E loco ανηρ | 2 ανηρ > mt | 2 λιος AEz | 2 post μηποτε + ουν c | 2 ψιλαφησει z | 2/3 post πατηρ + μου AEmt | 3 καταφρονων] „Aquila καταμωκωμενος. Symmachus καταπαιζων“ b. O συμμαχος το καταφρονων αντι του καταπαιζων O δε ακυλας καταμωκωμενος m | 4 επ αυτον E | 4 επ > z | 4 ειπεν AEmt[1] | 5 υπακουσον Amt, ακουσον z | 5/6 της φωνης μου AEcmtz | 6 ενεγκαι AE | 6 ελαβεν AEt[1] | 7 ηνεγκεν AE | 7 την μητερα t[1] | 7 post μητρι + αυτου mtz | 8 καθως mtz | 9 αυτης] αυτου z | 10 ενεδυσεν αυτην bc, και ενεδυσεν A [sine αυτην], ενεδυσεν E [sine και (eius loco ‸) et sine αυτην] amtyz | 11/12 περιεθηκε cz, εθηκεν mt | 12 επι τους βραχιονας αυτου και > mt | 12 επι utrumque] περι c | 12 επι prius] περι z | 13 εδωκεν AEt[1] | 14 ιακωβ abcmtz, ρεβεκκας A, αυτου E | 14 του υιου αυτης > E | 14/15 εισηνεγκεν AE, ηνεγκε ay | 15 τω πατρι αυτου > a | 15 ειπε δε] και ειπε cz | 15 med ειπεν AEt[1] | 15 post πατερ + μου A | 16 ante τις + ο δε ειπεν A | 16 post ιακωβ + ο υιος αυτου A | 16 post πατρι + αυτου AEcmtz | 17 post σου + και m [t = b] | 17 εποιησα Az | 17 καθως λελαληκας c | 18 απο της θηρας μου > z | 18 απο > AEamty | 18 μ uocis μου [an integra uox?] manu prima in rasura A | 18/19 ευλογησει m [t = b] z | 19 ειπεν AEt[1] | 19 του υιου E | 20 ο primum οτι scribunt Emt | 20 ο δε] και Ez | 20 παρεδωκεν AEt[1]

ριος ὁ θεός σου ἐναντίον μου. 21 εἶπε δὲ Ἰσαὰκ τῷ Ἰακὼβ Ἔγγισόν μοι καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ ἢ οὔ. 22 ἤγγισε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ· καὶ ἐψηλάφησεν αὐτὸν καὶ εἶπεν Ἡ μὲν φωνὴ φωνὴ Ἰακώβ, αἱ δὲ χεῖρες χεῖρες Ἠσαῦ. 23 καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι. καὶ εὐλόγησεν αὐτὸν 24 καὶ εἶπε Σὺ εἶ ὁ υἱός μου Ἠσαῦ; ὁ δὲ εἶπεν Ἐγώ. 25 καὶ εἶπε Προσάγαγέ μοι καὶ φάγομαι ἀπὸ τῆς θήρας σου, τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. καὶ προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε. 26 καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ Ἔγγισόν μοι καὶ φίλησόν με, τέκνον. 27 καὶ ἐγγίσας ἐφίλησεν αὐτόν· καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε κύριος. 28 καὶ δῴη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου. 29 καὶ δουλευσάτωσάν σοι ἔθνη, καὶ προσκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνήσουσί σοι

1 σου > Az | 1 εμου Ec | 1 ειπεν AEt¹ | 3 ηγγεισεν A, ηγγισεν Eat¹, ηγγεισε z | 3 δε > a, habet y | 4 εψηλαφησεν A, η prius et λ manu secunda in rasura | 4 μεν > A | 6 χειρες alterum χειραις scribit m [A?] | 6 ησαν „rescriptum a manu secunda erasis prioribus literis: super spatio raso plures olim fuerunt literae“ A | 7 ηυλογησεν AEmtz | 7 ειπεν AEcmt¹z | 7 ante συ + εἰ z | 8 και ειπε] ειπε δε ισαακ m [non t] | 8 ειπεν προσαγαγε AEt¹ | 9 φαγω z | 9 ινα Eabcmty, οπως A, και z | 9 ευλογησει m [t = b] z | 10 προσηγαγεν z | 10 εφαγεν AEct¹ | 11 επιεν ADEct¹ | 11 αυτω alterum > z | 11/12 ο πατηρ αυτου > Ez, ante ισαακ ponit c | 12 ante εγγισον + τω υιω αυτου z | 12 εγγεισον A | 12 μοι etiam z? qui μ scribit | 12 φιλησω σε mt, φιλησον μοι z | 12 τεκνον post μοι ponit E, > m | 13 οσφρανθη mz | 14 ηυλογησεν A, sed „literae ηυλο abrasae sunt non scalpro, sed iniuria quadam“. ηυλογησεν DEmt | 15 „Diodorus αντι του αγρου αρουρας εχει. το δε πληρους πεπληρωμενου βλαστηματων ευωδεστατων“ b | 15 πληρης D [GR: nunc ρη legi non potest] Ez | 15 ηυλογησε mt², ηυλογησεν A [Baberus in adnotationibus ευλογησεν, in uolumine primo ηυλογησεν] D [GR: superest η prius] t¹, ευλογησεν E | 16 δωσει c | 16 post ουρανου + ανωθεν Amt | 17 ποιοτητος z | 17 και primum > c | 18 προσκυνησουσιν A, προσκυνησουσι c, προσηνησουσι z | 18 σοι alterum] σε z | 19 προσκυνησουσιν AE | 19 σοι abcmt, σε Az

οἱ υἱοὶ τοῦ πατρός σου· ὁ καταρώμενός σε ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε εὐλογημένος. 30 καὶ ἐγένετο μετὰ τὸ παύσασθαι Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ, καὶ ἐγένετο, ὡς ἂν ἐξῆλθεν Ἰακὼβ ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ Ἠσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας. 31 καὶ ἐποίησε καὶ αὐτὸς ἐδέσματα καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ· καὶ εἶπε τῷ πατρὶ Ἀναστήτω ὁ πατήρ μου καὶ φαγέτω ἀπὸ τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. 32 καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ Τίς εἶ σύ; ὁ δὲ εἶπεν Ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἠσαῦ. 33 ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα καὶ εἶπε Τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ ἐλθεῖν σε; καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται. 34 ἐγένετο δέ, ἡνίκα ἤκουσεν Ἠσαῦ τὰ ῥήματα τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα καὶ εἶπεν Εὐλόγησον δὴ κἀμέ, πάτερ. 35 εἶπε δὲ αὐτῷ Ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου

1 *οι* > ctz | 1 *σε*] *σοι* c | 2 *ο δε*] *και ο* m | 3 ante *ισαακ* + *τον* t | 3 ante *ιακωβ* + *τον* AD | 3 *ιακωβ* > z | 3 *τον* > D | 4 *ως αν* b, *οσον* Eamtyz, *ως* sine *αν* AD [GR] c et super uersum prima manu monacensis | 5/6 *απο της θηρας* > E | 6 post *θηρας* + *αυτου* A | 6 *εποιησεν* ADEt[1] | 6 *προσηνεγκεν* ADEt[1] | 7 *ειπεν* AD [*ν* a Tischendorfio non uisum esse uidetur] Ect[1]z | 7 *τῳ πατρι* alterum > cz | 7 post *πατρι* alterum + *αυτου* A | 8 *απο* > ADEay | 8 *ευλογησει* A [cuius uocis *η* in rasura manu uel prima uel perantiqua alia] z | 10 *ειμι ο πρωτοτοκος υιος σου* m, sed *α* super *σου*, *β* super *υιος* scriptum. *ειμι ο πρωτοτοκος σου υιος* t | 12 *ειπεν* AEcmt[1] | 12 ante *τις* + *και* z | 12 *ουν*] *εστιν* a [y = b] z | 12 *μοι* prius] *με* m | 12 *εισηνεγκας* A, *εισηνεγκε* c, *εισενεγκων* z | 12 post *μοι* alterum + *θηραν* E | 12 *και* alterum > z | 13 *πατων* D [GR] | 13 *ελθειν σε* abz, *σε εισελθειν* A, *σε ελθειν* D [GR] Ecmt, *εισελθειν σε* y | 13 *ηυλογησα* AE | 14 *εσται* Abc, *εστω* D [GR] Eamtyz. „ita [ut b] LL UU et Ioannes Chrysostomus. AA LL *ευλογημενος εστω*. et ita Augustinus“ b. Augustinus in sermone IV de Iacob et Esau § 27 [tom V 23[a] Mabillon] „benedictus sit“ | 14 *ηνικα* Aabcmtz, *ως* D [GR] E | 14/15 *ηκουσε τα ρηματα ησαυ* mt | 15 *ισαακ του πατρος αυτου* AD [GR] cmtyz | 15 *ισαακ* > E | 15 ante *ανεβοησεν* suum + *και* E | 15 *ανεβαησεν* AE, *και εβοησε* c | 15 ante *φωνην* + *ησαυ* A | 15/16 *φωνη μεγαλη* Ez | 16 *και πικρα* E, > z | 16 *σφοδραν* D [GR], > z | 16 *ειπε* t[2] | 16 post *ειπεν* + *τω πατρι αυτου* D [GR] mt [*τωι* t] | 16/17 *ε* uocis *πατερ* manu prima in rasura A | 17 *ειπε δε*] *και ειπεν* mt |

ἔλαβε τὴν εὐλογίαν σου. 36 καὶ εἶπε Δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἰδοὺ δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μου. καὶ εἶπεν Ἠσαῦ τῷ πατρὶ αὐτοῦ Οὐχ ὑπελίπου μοι εὐλογίαν, πάτερ; 37 ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπε τῷ Ἠσαῦ Εἰ κύριον αὐτὸν πεποίηκά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν: σοὶ δὲ τί ποιήσω, τέκνον; 38 εἶπε δὲ Ἠσαῦ πρὸς τὸν πατέρα αὐτοῦ Μὴ εὐλογία μία σοι ἐστί, πάτερ; εὐλόγησον δὴ κἀμέ, πάτερ. κατανυχθέντος δὲ Ἰσαὰκ ἀνεβόησε φωνῇ Ἠσαῦ καὶ ἔκλαυσεν. 39 ἀποκριθεὶς δὲ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ εἶπεν αὐτῷ Ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν. 40 καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δέ, ἡνίκα ἐὰν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. 41 καὶ ἐνεκότει Ἠσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. εἶπε δὲ Ἠσαῦ ἐν τῇ διανοίᾳ

17 ειπεν AE | 17 super ω uocis ελθων manus recens ο adscripsit in m | 17 μετα δολου] „Aquila ενεδρας, Symmachus εν επιθεσει“ b

1 ελαβεν AEt[1] | 1 ειπεν AEmt[1]z | 1 ante δικαιως + ησαυ z | 1 επεκληθη m [t = b], επεκλιθη z | 2 επτερνικεν A, επτερνηκε cz, επτερνισεν D [GB] t, επτερνησεν E, επτερνισε mt[2]. „Cyrillus πτερνιστης ιακωβ, τουτεστι τεχνιτης ητοι νικαν ειδως“ b | 2 με γαρ E | 2 ιδου b, ηδη AD [GB] Eacmtyz | 2 τουτο > c | 3 πρωτοτοκεια Aay | 3 ειληφεν AEt[1] | 3 post νυν + ιδου m | 3 ελαβε bc, ειληφεν AD [GB] Et[1], ειληφε amt[2]yz | 4 υπελειπω Am, υπελιπω D [teste Grabio] t, υπολειπω Ez, υπολελειπτο c | 5 ευλογια c | 5 δε > a, habet y | 5 ειπεν AEmt[1] | 6 εποιησα AD [teste Grabio] Ecmtz | 6 αυτου > z | 7 πεποιηκα αυτου > c | 7 εποιησα Az | 7 ου uocis αυτου in rasura manu secunda A | 7 εστηρισα AEm, εστερεωσα c, ετηρισα t | 7 αυτωι t | 8 ειπεν AEmt[1] | 8/9 προς τον πατερα αυτου > z | 8 post προς + ισαακ AD [GB: superest ακ] | 9 post μια + μονη D | 9 εστιν σοι E | 9 εστιν At[1] | 10 πατερ > z | 10/11 quae inter κατανυχθεντος 10 et εκλαυσεν 11 media, > A | 10 ανεβοησεν Et[1] | 10 φωνην D [GB: superest ην ante ης] mtz | 10 post φωνῃ + μεγαλη Ea [ῃ a] y | 10 ησαυ > E | 11 ο πατηρ αυτου > z | 13 και > mt | 13 μαχαιρη AD [GB] E | 14 δουλευσης Em | 14/15 „schol εσται δε εαν καμφθῃς. και εσται καθα καταβιβασῃς“ b | 15 εαν θελης E, αν καθελης cmtz | 15 εκλυσεις A, ἑλκύσης c | 15 αυτου > z | 16 τῳ > mt | 17 ηυλογησεν D [GB] E | 17 post αυτον + ισαακ mtz | 17 ειπεν AEt[1]

αὐτοῦ Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου,
ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου. 42 ἀπηγγέλη δὲ
Ῥεβέκκᾳ τὰ ῥήματα Ἠσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου·
καὶ πέμψασα ἐκάλεσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον
καὶ εἶπεν αὐτῷ Ἰδοὺ Ἠσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι τοῦ
ἀποκτεῖναί σε. 43 νῦν οὖν, τέκνον, ἄκουσόν μου τῆς φωνῆς,
καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν
τὸν ἀδελφόν μου εἰς Χαρράν. 44 καὶ οἴκησον μετ' αὐτοῦ
ἡμέρας τινὰς 45 ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν
ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται, ἃ πεποίη-
κας αὐτῷ· καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μή-
ποτε ἀποτεκνωθῶ ἀπὸ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ. 46 εἶπε
δὲ Ῥεβέκκα πρὸς Ἰσαὰκ Προσώχθικα τῇ ζωῇ μου διὰ τὰς
θυγατέρας τῶν υἱῶν Χέτ· εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ
28 τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν; 1 προσκα-
λεσάμενος δὲ Ἰσαὰκ τὸν Ἰακὼβ εὐλόγησεν αὐτόν, καὶ ἐνετεί-
λατο αὐτῷ λέγων Οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῶν
Χαναναίων. 2 ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν εἰς
τὸν οἶκον Βαθουὴλ τοῦ πατρὸς τῆς μητρός σου, καὶ λάβε
σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν το ῦἀδελ-
φοῦ τῆς μητρός σου. 3 ὁ δὲ θεός μου εὐλογήσαι σε καὶ
αὐξήσαι σε καὶ πληθύναι σε, καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν.

1 *υ* alterum uocis *αυτου* in rasura A. *αυτου* > Emt | 1 *παθους* z | 2 *αποκτινω* E | 2 *απηγγειλεν* E, *απηγγελλη* t, *απηγγελει* z | 3 post *ρηματα* + *ταυτα* m [t = b] | 4 *εκαλεσε* mt²z | 4 *ιακωβ* > Emtz | 4 post *αυτης* + *τον ιακωβ* z | 5 *απειλειται* E, *απηλειται* c, *απειλη* mz | 5/6 „schol *διανοειται κατα σου*“ b | 6 ante *τεκνον* + *ὦ* c | 7 *εις την μεσοποταμιαν* > E | 7 *την* > mz | 9 *τοὺ*] *ου* m [t = b] | 10 *επιλαθητε* z | 11 *μεταπεμψωμαι* E | 12 *ατεκνωθω* AD [GR: ??] amty, *κενωθω* E, *αποτεκνοθω* z | 12 *ημων* editio romana et D, *υμων* AEacmtz | 12 *εις ημεραν μιαν* E | 12 *ειπεν* AEt¹ | 13 *προς*] *τω* E | 13 *προσοχθεικα* A [sed *ικ* nunc euanidae], *προσωχθισα* D [GR] mt, *προσωχθησα* E. „Aquila *εσιχχανα*, Symmachus *ενεκακησα*“ b | 14 *λημψεται* ADE, *ληψωμαι* c | 14 *γυναικα* > E, eius loco *ὧδε* z | 15 *το* > ADEamtyz | 16 *ηυλογησεν* E | 17 *αυτῳ* > Ez | 17 *λημψῃ* ADE, *ληψει* z | 17 *εκ* Aabcmt, *απο* D [GR] Ez | 17/18 *των χαναναιων* bc, *χανααν* ADEamtyz | 18 ante *εις* alterum + *συριας* Az | 19 *του* > c | 20 *σεαυτου* E | 20 *εκειθεν* > Ec | 21 post *σε* + *τεκνον* c | 22 *και πληθυναι σε* E ante *και αυξησαι σε*, absunt a complutensi | 22 *πληθῆναι* z | 22 *συναιγωγας* m [antiquam *α* formam noui]

4 καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός μου, σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ, κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ θεὸς τῷ Ἀβραάμ. 5 καὶ ἀπέστειλεν Ἰσαὰκ τὸν Ἰακώβ· καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελφὸν Ῥεβέκκας τῆς μητρὸς Ἰακὼβ καὶ Ἠσαῦ. 6 εἶδε δὲ Ἠσαῦ ὅτι εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ ἀπέστειλεν εἰς τὴν Μεσοποταμίαν Συρίας λαβεῖν ἑαυτῷ γυναῖκα ἐκεῖθεν ἐν τῷ εὐλογεῖν αὐτόν, καὶ ἐνετείλατο αὐτῷ λέγων Οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων. 7 καὶ ἤκουσεν Ἰακὼβ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν Συρίας. 8 ἰδὼν δὲ καὶ Ἠσαῦ ὅτι πονηραί εἰσιν αἱ θυγατέρες Χαναὰν ἐναντίον Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, 9 ἐπορεύθη Ἠσαῦ πρὸς Ἰσμαήλ, καὶ ἔλαβε τὴν Μαελὲθ θυγατέρα Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ, ἀδελφὴν Ναβεώθ, πρὸς ταῖς γυναιξὶν αὐτοῦ γυναῖκα. 10 καὶ ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρράν. 11 καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ. 12 καὶ ἐνυπνιάσθη· καὶ

1 δωσει c | 1 την > c | 1 του πατρος αβρααμ z, omisso μου | 1 μου Eabcm, σου A [de quo uulgo tacent] | 3 δεδωκεν A | 3 post εδωκεν + κυριος E | 4 ante επορευθη + αναστας ιακωβ z | 4 την > mt | 5 ante προς + συριας Ez | 5/8 quae inter προς 5 et συριας 8 media, > z | 5 τον > c | 5 αδελφου m | 5 post αδελφον + δε AD [GB] | 6 ιδε editio romana, ιδεν ADE, ιδων a, ειδεν t[1], ειδε y | 7 ηυλογησεν D [GB] Em[2] | 7 απεστειλεν b, απωχετο AD [GB] amty, αποχετο E | 7/8 quae inter εις 7 et γυναικα 8 media, > mt | 8 ante συριας + της c | 8 εαυτω AEabcz, αυτω D [GB] | 8 εκειθεν > A, ante γυναικα ponit z | 8 ante εν + και z | 9 και > z | 9 λημψη AE, ληψει z | 9 εκ bc, απο AD [GB] Eamtyz | 10 των χαναναιων bc, χαναναν AEamtyz | 11 post πατρος + αυτου D [GB] E | 11 εαυτου A | 11 την > c | 12 συριας > Ac | 12 ιδων δε και ab, και ιδεν AD [GB: superest δεν ante ησαυ] E, και ειδεν cmty [sic] z | 13 ισαακ] ησαυ E | 14 ante επορευθη + και AD [GB] Ecmtz | 14 ησαυ > E | 14 ελαβεν AE | 14 μαελεθ] μασεματ z | 15 post αδελφην + δε z | 15 ναβεωθ abcy, ναβαιωθ ADEm, ἀβαιωθ t, ναβαωτ z | 16 εαυτου z | 17/18 απηντησεν AEt[1], υπηντησε z | 18/19 ελαβε λιθον απο των λιθων mt | 19 εθηκεν Ect[1], επεθηκεν A [non, ut uulgo traditur, επεθηκε] | 20 εκεινω > E | 20 ηνυπνιασθη D [GB] E

ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῇ. [13]ὁ δὲ κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς. καὶ εἶπεν Ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ τοῦ πατρός σου καὶ ὁ θεὸς Ἰσαάκ, μὴ φοβοῦ· ἡ γῆ, ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου. [14]καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ λίβα καὶ βορρᾶν καὶ ἐπὶ ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου. [15]καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με πάντα, ὅσα ἐλάλησά σοι. [16]καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν ὅτι Ἔστι κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. [17]καὶ ἐφοβήθη καὶ εἶπεν Ὡς φοβερὸς ὁ τόπος οὗτος· οὐκ ἔστι τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. [18]καὶ ἀνέστη Ἰακὼβ τὸ πρωί, καὶ ἔλαβε τὸν λίθον, ὃν ὑπέθηκεν ἐκεῖ πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς. [19]καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Οἶκος θεοῦ· καὶ Οὐλαμ-

1 *αφικνιτο* D [? superest *κνι*], *αφηκνειτο* E | 2/3 *αναβαινοντες και καταβαινοντες* E | 3 initio *αυτῃ* Dabmt, *αυτης* AE, *αυτην* cz | 3 *εστηρικτο* m [t = b] | 4 *ειμι* > AD [GB] Eacyz | 4/5 *ο θεος αβρααμ και ο θεος ισαακ του πατρος σου μη* mt | 4 *του πατρος σου αβρααμ* c | 5 *ης* etiam t, *ἧ* cm [qui mox *ἀυτῆς* ut b] z [qui mox *αυτην*] | 5 *καθευδες* E | 6 *σοι*] *συ* Et | 6 *το σπερματι* E | 7 *ως*] *ωσει* Eay | 7 *η* > Eay | 7 *η αμμος της γης*] *τα αστρα του ουρανου* z | 7 *γης* Eabcmt, *θαλασσης* A | 8 *και επι λιβαν και επι βορραν και επ ανατολας* A. ita E, nisi quod *λιβα*. c = b, nisi quod ante *βορραν* addit *επι*. mt + *επι* ante *λιβα* et ante *βορραν*, quod m *βοραν* scribit. z ≠ b, nisi quod *λιβαν*. ex D Grabius adfert *επι λιβα κὰι επι βορρα και επ ανατολας* | 8 a *και* quarto 8 usque ad *σοι* 13 D iam Grabii tempore hiabat | 10 *εγω ιδου* E | 10 *ειμι* > AEcmtz | 10 *διαφυλαττων* m [t = b] | 11 *οδῳ*] *γῃ* c | 11 *αν* ab, *εαν* AEcmtz | 11 *πορευσῃ* c | 12 *εγκαταλειπω* AEcz | 13 *με* > z | 13 *εκ* Eabcmt, *απο* AD [GB] z | 14 *εστιν* AE | 14 *τουτο* t | 15 *ιδειν* E | 15 *εφοβηθειν* m | 16 *εστιν* AE | 17 *και ανεστη ιακωβ το πρωι* > m | 17 *τωι πρωι* t | 17 *ελαβεν* AE | 18 *υπεθηκεν* abmt, *εθηκεν* AE, *επεθηκεν* z | 18 *εκει* > E | 19 *ελεον* D [superest *εον* ante *επι*] | 19 *αυτης*] *αυτου* z | 20 *εκαλεσεν* AD [GB] Emtz | 20 ante *το* + *ιακωβ* AD [GB: superest *ωβ*] mtz | 20 *οικος θεου*] „Aquila *βαιθηλ*“ b |

λοὺζ ἦν ὄνομα τῇ πόλει τὸ πρότερον. [20]καὶ ηὔξατο Ἰακὼβ
εὐχὴν λέγων Ἐὰν ᾖ κύριος ὁ θεὸς μετ' ἐμοῦ, καὶ διαφυλάξῃ
με ἐν τῇ ὁδῷ ταύτῃ ᾗ ἐγὼ πορεύομαι, καὶ δῷ μοι ἄρτον
φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι, [21]καὶ ἀποστρέψῃ με μετὰ
σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου: καὶ ἔσται κύριός
μοι εἰς θεόν· [22]καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται
μοι οἶκος θεοῦ· καὶ πάντων ὧν ἐάν μοι δῷς, δεκάτην ἀπο-
δεκατώσω αὐτά σοι. [1]καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας ἐπο- 29
ρεύθη εἰς γῆν ἀνατολῶν πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ
Σύρου, ἀδελφὸν δὲ Ῥεβέκκας μητρὸς Ἰακὼβ καὶ Ἠσαῦ. [2]καὶ
ὁρᾷ, καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ. ἦσαν δὲ ἐκεῖ τρία ποίμνια
προβάτων ἀναπαυόμενα ἐπ' αὐτοῦ· ἐκ γὰρ τοῦ φρέατος ἐκεί-
νου ἐπότιζον τὰ ποίμνια· λίθος δὲ ἦν μέγας ἐπὶ τῷ στό-
ματι τοῦ φρέατος. [3]καὶ συνήγοντο ἐκεῖ πάντα τὰ ποίμνια,
καὶ ἀπεκύλιον τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος,
καὶ ἐπότιζον τὰ πρόβατα, καὶ ἀπεκαθίστων τὸν λίθον ἐπὶ
τὸ στόμα τοῦ φρέατος εἰς τὸν τόπον αὐτοῦ. [4]εἶπε δὲ αὐτοῖς
Ἰακὼβ Ἀδελφοί, πόθεν ἐστὲ ὑμεῖς; οἱ δὲ εἶπαν Ἐκ Χαρράν

20/1 *ουλαμμαυς* A, *ουλαμμαους* DEyz, *ου λαμμαους* a, *λαμμαους* c, *ουαλαμ* mt. „Aquila *προτερον λουζ ονομα τη πολει*. LL UU uariant. in aliis est *ουλαμμαους*. in aliis *λαμμαους*. in aliis *ουαλαμ*“ b

2 post *ευχην* + *τω κυριω* z | 2 *ο θεος* > Emt | 2 *και* > a [y=b] | 2 *φυλαξη* c, *διαφυλαξει* z | 3 *εγω* > m | 3 *πορευσομαι* c | 3 post *πορευομαι* + *εν αυτη* D, + *εν αυτηι* mt | 3 *δω* D. *δωη* Ec, manus recens in t *σει* super *δω* scripsit | 4 *φαγιν* D | 4 *περιβαλεσθαι* ADabctz, *περιβαλλεσθαι* m, *ενδυσασθαι* E | 4/5 *και μετα σωτηριας αποστρεψει με* E | 4 *αποστρεψει* a [y=b] z, *αποστρεψομαι* c, *αποστρεψαι* m | 4 *με* > cz | 5/6 *κυριος μοι* abmt, *μοι κυριος* AEcz | 7 *αν* Ez | 7 *δὸς* z | 7/8 *αποδεκατωσοι* A | 8 *αυτας* t | 8 *σοι* > z | 9 *τον του βαθουηλ* E, *τον εκ βαθουηλ* c | 9 *βαιθουηλ* z | 10 *δε* > Ec | 10 ante *μητρος* + *της* D [GB] E | 10/11 *και ορα* > z | 11 *παιδιω* A | 11 *τρια*] *δυο* mt | 12 *επ αυτου* abmtz, *επι το αυτο* A, > E | 13 *εποτιζοντο* E | 13/14 *λιθος* 13 usque ad *ποιμνια* 14 > z | 13 post *λιθος* + *εἷς* mt | 13/14 *του στοματος* D [GB] | 14 *συνηγαγοντο* E | 14 post *ποιμνια* + *και οι ποιμενες* c | 15 post *και* + *οι ποιμενες* z | 15 *επι τω στοματι* D teste Grabio | 15 post *φρεατος* + *εκεινον* z | 16 post *και* alterum + *παλιν* c | 16 *αποκαθιστων* Eacy | 16 *το[illegible]ν λιθο[illegible]ν* t | 16 *επι*] *εις* ay | 17 *τω στοματι* c, *του στοματος* z | 17 *ειπεν* AEt[1] | 17 post *δε* + *ιακωβ* t | 17 *αυτοις*] *προς αυτους* mt | 18 *ιακωβ* > t | 18 *εσται* Am | 18 *ειπον* z | 18 *χαρρας* E, *χαραν* z

ἐσμεν. [5] εἶπε δὲ αὐτοῖς Γινώσκετε Λάβαν τὸν υἱὸν Ναχώρ; οἱ δὲ εἶπαν Γινώσκομεν. [6] εἶπε δὲ αὐτοῖς Ὑγιαίνει; οἱ δὲ εἶπαν Ὑγιαίνει· καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων. [7] καὶ εἶπεν Ἰακὼβ Ἔτι ἐστὶν ἡμέρα πολλή, οὔπω ὥρα συναχθῆναι τὰ κτήνη· ποτίσαντες τὰ πρόβατα ἀπελθόντες βόσκετε. [8] οἱ δὲ εἶπαν Οὐ δυνησόμεθα ἕως τοῦ συναχθῆναι πάντας τοὺς ποιμένας, καὶ ἀποκυλίσουσι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ποτιοῦμεν τὰ πρόβατα. [9] ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς, καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ Λάβαν ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς· αὐτὴ γὰρ ἔβοσκε τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς. [10] ἐγένετο δέ, ὡς εἶδεν Ἰακὼβ τὴν Ῥαχὴλ τὴν θυγατέρα Λάβαν ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ καὶ τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ προσελθὼν Ἰακὼβ ἀπεκύλισε τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ἐπότιζε τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς

1 *εσμεν* > c | 1 *ειπεν* AEt[1] | 1 post *αυτοις* + *ιακωβ* E | 1 post *αυτοις* + *μη* c | 1 *γινωσκεται* z | 1 *ἀχωρ* c | 2 *οι δε ειπον* z | 2 med *ειπεν* AEt[1] | 2 *υγιαινη* z | 3 *ειπον* cz | 3 *υγιαινη* z | 3 ante *και* + *ετι αυτου λαλουντος* AE | 3 *ραχιηλ* m | 3/4 *και* 3 usque ad *προβατων* 4 > D | 4 post *προβατων* + *του πατρος αυτης αυτη γαρ εβοσκεν τα προβατα του πατρος αυτης* A, + *του πατρος αυτης* Ecz | 4 post *ειπεν* + *αυτοις* c | 5 post *ουπω* + *εστιν* mt | 5 *ωρα* > c | 5 *κτηνη*] *ποιμνια* c | 6 *προβατα*] *κτηνη* E | 6 *βοσκεται* E | 6 *οι δε ειπαν* AEabmt, *ειπαν δε* D [GB], *οι δε ειπον* cz | 6 *δυναμεθα* c, *δυνησωμεθα* z | 7 *ποιμαινας* m[1]? certe *ε* prima manu in rasura | 7/8 *αποκυλισωσι* Acmt, *αποκυλισωσιν* D [GB] E, *αποκυλισωμεν* z | 8 *του στοματος* > c | 8 *του φρεατος* > E | 9 *ποβατα* E[1]? | 9 *ιδου* > Aamtz | 10 *η θυγατηρ λαβαν* > mt | 10 *η* > c | 11/12 *αυτη* 11 usque ad *αυτης* 12 > E | 11 *αὔτη* mt, *ἀυτή* z | 11 *εβοσκεν* At[1] | 12 *ιδεν* AD [GB] E | 12 *την* prius > c | 12 *την* alterum > AD [GB?] cmtz | 12/15 *την θυγατερα* 12 usque ad *ιακωβ* 15 > E | 12/13 a uoce *θυγατερα* usque ad *ημερων* 113, 10 in D „omnia sunt exesa et charta insuper recentior folio obducta, exceptis uerbis 113, 4 *και δραμουσα ανηγγειλεν τω πατρι αυτης*“ | 13 *αδελ'*▮▮▮*φ*▮*ο*▮*υ*▮ A. „syllabam *φου* fini lineae praecedentis olim adscriptam manus prima derasit, scalpro deleuit etiam manus eadem literas quasdam in initio lineae sequentis mendose exaratas, earumque loco ultimam syllabam uocis *αδελφου* rescripsit“ | 13/14 *και τα προβατα λαβαν του αδελφου της μητρος αυτου* > Amt | 14 *λαβαν του αδελφου της μητρος* > z | 14 *και* > z | 15 *απεκυλισεν* A, *απεκυλησεν* E | 16 *εποτισεν* AE [m[1]?], *εποτισε* cmz, *εποτησε* t

αὐτοῦ. 11 καὶ ἐφίλησεν Ἰακὼβ τὴν Ῥαχήλ, καὶ βοήσας τῇ
φωνῇ αὐτοῦ ἔκλαυσε. 12 καὶ ἀπήγγειλε τῇ Ῥαχὴλ ὅτι ἀδελ-
φὸς τοῦ πατρὸς αὐτῆς ἐστί, καὶ ὅτι υἱὸς Ῥεβέκκας ἐστί.
καὶ δραμοῦσα ἀπήγγειλε τῷ πατρὶ αὐτῆς κατὰ τὰ ῥήματα
ταῦτα. 13 ἐγένετο δέ, ὡς ἤκουσε Λάβαν τὸ ὄνομα Ἰακὼβ
τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ, ἔδραμεν εἰς συνάντησιν αὐτῷ,
καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν
οἶκον αὐτοῦ· καὶ διηγήσατο τῷ Λάβαν πάντας τοὺς λόγους
τούτους. 14 καὶ εἶπεν αὐτῷ Λάβαν Ἐκ τῶν ὀστῶν μου καὶ
ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ἦν μετ' αὐτοῦ μῆνα ἡμερῶν.
15 εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ Ὅτι γὰρ ἀδελφός μου εἶ, οὐ
δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι τίς ὁ μισθός σου
ἐστί. 16 τῷ δὲ Λάβαν ἦσαν δύο θυγατέρες· ὄνομα τῇ μείζονι
Λεία καὶ ὄνομα τῇ νεωτέρᾳ Ῥαχήλ. 17 οἱ δὲ ὀφθαλμοὶ
Λείας ἀσθενεῖς, Ῥαχὴλ δὲ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ
ὄψει σφόδρα. 18 ἠγάπησε δὲ Ἰακὼβ τὴν Ῥαχήλ, καὶ εἶπε
Δουλεύσω σοι ἑπτὰ ἔτη περὶ τῆς Ῥαχὴλ τῆς θυγατρός σου
τῆς νεωτέρας. 19 εἶπε δὲ αὐτῷ Λάβαν Βέλτιον δοῦναί με

1 *κατεφιλησεν* mt | 2 *εκλαυσεν* AEmt^{1} | 2 *ανηγγειλεν* AE, *απηγγειλεν* mt | 2 ante *τη* + *ιακωβ* mt | 2 *την ραχηλ* z, *αυτη ιακωβ* E | 2/3 *αδελφος του πατρος αυτης εστι και οτι* > z | 3 *του πατρος* > E | 3 *εστιν* utroque loco AEmt^{1} | 3 *και οτι υιος ρεβεκκας εστι* > a [non y] | 3/4 *ρεβεκκας εστιν αδελφης του πατρος αυτης και δραμουσα* z | 4 *και*] *η δε* E | 4 *ανηγγειλεν* D [GR] E. ex A Baberus in uolumine I *απηγγειλεν* adfert, in uolumine IV *ανηγγειλεν*, illius *απηγγειλεν* mentione in uolumine IV non facta. uulgo de his tacent. *απηγγειλεν* t^{1} | 5 *εγενετο δε* Eabcmtz, *και εγενετο* A | 5 *ηκουσεν* AE | 6 *υιου της* manu prima in rasura A | 6 *συναντησιν αυτου* Acmz [sed t *αυτωι*] | 7 *εφιλησεν αυτον* E | 7 *εφιλησεν* AEcz, *κατεφιλησεν* t^{1}, *κατεφιλησε* mt^{2} | 7 *αυτον* alterum > E | 8 *τω* > Emtz | 9 *τουτους*] *αυτου* c | 9 *οστεων* Ec | 11 *ειπε δε* abcmt^{2}, *ειπεν δε* At^{1}, *και ειπεν* D [GR] E, *και ειπε* z | 11 post *ει* + *συ* z | 12 *δουλευσης μου* m | 12 *τί σου ο μισθος* c | 12 *τι* z | 13 *εστιν* AEmt^{1} | 13 *δυο θυγατερες ησαν* c | 13 *θυγατεραις* m | 14 *λια* AE, *λιαν* z | 14 *νεωτερα*] *δευτερα* cz | 14 *οι δε οφθαλμοι* > z | 15 *λιας* E, *η δε λιαν* z | 15 *ασθενης* z | 15 *ην* > Ec | 15 *τω ειδει καλη* E | 15 *ιδει* A, *ειδη* z^{1} | 16 *σφοδρα* > AD [GR] | 16 *ηγαπησεν* AEt^{1} | 16 *δε την ραχηλ ο ιακωβ* c | 16 *ειπεν* AEmt^{1} | 17 *σοι* > z | 17 *περι* AEabcmtz, *υπερ* D [GR] | 17 *της* prius > AD [GR] Ecmtz | 18 *ειπεν* AEt^{1} | 18 *αυτω* > D [GR] cmt | 18/1 *βελτιον σοι δουναι με αυτην ἤ* c | 18 *με δουναι* E, *δουναι μοι* a [y = b] m [t = b] z

αὐτὴν σοὶ ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον μετ' ἐμοῦ. 20 καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη· καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν. 21 εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν Δός μοι τὴν γυναῖκά μου (πεπλήρωνται γὰρ αἱ ἡμέραι), ὅπως εἰσέλθω πρὸς αὐτήν. 22 συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου καὶ ἐποίησε γάμον. 23 καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λείαν τὴν θυγατέρα αὐτοῦ εἰσήγαγεν πρὸς Ἰακώβ, καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ. 24 ἔδωκε δὲ Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ Ζελφὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην. 25 ἐγένετο δὲ πρωί, καὶ ἰδοὺ ἦν Λεία. εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν Τί τοῦτο ἐποίησάς μοι; οὐ περὶ Ῥαχὴλ ἐδούλευσα παρὰ σοί; καὶ ἵνα τί παρελογίσω με; 26 ἀπεκρίθη δὲ Λάβαν Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέραν. 27 συντέλεσον οὖν τὰ ἕβδομα ταύτης, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας ἧς ἐργᾷ παρ' ἐμοὶ ἔτι ἑπτὰ ἔτη ἕτερα. 28 ἐποίησε δὲ Ἰακὼβ οὕτως, καὶ ἀνεπλή-

1 σοι] συ z | 1 δουναι μοι z | 1 αυτην alterum] αὐτῇι t | 1 ετερω ανδρι E | 1 post οικησον + ουν z | 2 εδουλευσεν δε ιακωβ E | 2 ετη επτα D [GR] cmt | 2/4 quae inter και alterum 2 et αυτην 4 media, > A | 3 ωσει E | 4 ειπεν AEt¹ | 4/5 comma 21 > a, habet y | 4 τῳ] προς Ecz | 4 δος bc, αποδος AD [GR] Eyz, παράδως mt | 4 μοι > Emty | 5 post ημεραι + μου AD [GR] mty | 6 συνηγαγεν AEt¹ | 7 εποιησεν AE | 7 γαμον] „Aquila et Symmachus ποτον“ b | 7 loco και prioris E ως δε | 7 εσπερα εγενετο E | 7 και alterum > E | 7 post λαβων + λαβαν D [?GR] Eamtyz | 7 λιαν Ez | 8 εισηγαγε c | 8 post εισηγαγεν + αυτην AD [GR] Eamtyz | 8 ιακωβ] αυτον z | 8/9 και εισηλθε προς αυτην ιακωβ > z | 8 εισηλθεν AEt¹ | 8/9 ιακωβ προς αυτην E | 9 ante ιακωβ + ο m | 9 εδωκεν AEt¹ | 9 post λαβαν + ζελφαν Aay | 9 λειαν ζελφαν τηι t [sic] | 9 λειᾳ τη θυγατρι αυτου > D hoc loco, habet loco αυτη uersu sequenti [GR]. τη θυγατρι αυτου λια E | 9 λιαν z | 10 ζελφαν > Aaty | 10 αυτου αυτη παιδισκην > ay | 10 αυτη > t | 10 εγενετο δε] και εγενετο δε c [sic] | 11 τοπρωι c | 11 λια Ez | 11 ειπε δε] και ειπεν mt | 11 ειπεν AE | 11 τῳ > A, προς τον c | 12 παρα > AEctz | 13 και > z | 13 ινα τι] ἵτι D [GR] | 13 „schol ενηδρευσας με“ b | 13 με > z, μαι E | 13 απεκριθη ab, ειπεν AD [GR] Et¹, ειπε cmt²z | 13 εσται E | 14 ημων] τουτω c | 14 ἢ] ι E, > c | 14/15 της πρεσβυτερας c | 16 αντι] απο c | 16 εργασει D [GR: "σαι?], εργασω E | 16 ετι > Ecm [habet t] z | 17 ετη επτα Ecmz | 17 εποιησε δε ιακωβ ουτως > m [habet t] | 17 εποιησεν ADEt¹ | 17/1 ανεπληρωσεν ADEt¹, ενεπληρωσε z

*ρωσε τὰ ἕβδομα ταύτης· καὶ ἔδωκεν αὐτῷ Λάβαν Ῥαχὴλ
τὴν θυγατέρα αὐτοῦ αὐτῷ γυναῖκα. 29 ἔδωκε δὲ Λάβαν τῇ
θυγατρὶ αὐτοῦ Βαλλὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην.
30 καὶ εἰσῆλθε πρὸς Ῥαχήλ· ἠγάπησε δὲ Ῥαχὴλ μᾶλλον ἢ
Λείαν· καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα. 31 ἰδὼν δὲ
κύριος ὁ θεὸς ὅτι ἐμισεῖτο Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς·
Ῥαχὴλ δὲ ἦν στεῖρα. 32 καὶ συνέλαβε Λεία καὶ ἔτεκεν υἱὸν
τῷ Ἰακώβ· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβὴν λέγουσα
Διότι εἶδέ μου κύριος τὴν ταπείνωσιν καὶ ἔδωκέ μοι υἱόν·
νῦν οὖν ἀγαπήσει με ὁ ἀνήρ μου. 33 καὶ συνέλαβε πάλιν καὶ
ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ, καὶ εἶπεν ὅτι Ἤκουσε κύριος
ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον· καὶ ἐκάλεσε
τὸ ὄνομα αὐτοῦ Συμεών. 34 καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν
υἱόν, καὶ εἶπεν Ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ
μου, τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς· διὰ τοῦτο ἐκάλεσε τὸ
ὄνομα αὐτοῦ Λευεί. 35 καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱόν, καὶ
εἶπε Νῦν ἔτι τοῦτο ἐξομολογήσομαι κυρίῳ· διὰ τοῦτο ἐκά-*

1 *αυτης* c | 1 *εδωκε* mt^2 | 1 *αυτω* > AEmt, habet etiam D | 2 init *τηι θυγατρι* t, sero correctum | 2 *αυτου* > m^1 | 2 *γυναικι* z | 2/3 *εδωκε δε λαβαν τη θυγατρι αυτου* > E | 2 *εδωκεν* ADt^1 | 2 post *λαβαν* + *ραχηλ* Acmtz | 2 a *τη* usque ad finem commatis 33 omnia > D [GR] | 2/3 *την θυγατερα* z | 3 ante *βαλλαν* + *και* E | 3 *βαλαν* z | 3 *αυτου αυτω παιδισκην* > ay | 3 *αυτῃ*] *αυτην* t | 4 *εισηλθεν* AEt^{1}z | 4 ante *προς* + *ιακωβ* z | 4 post *προς* + *την* c | 4 *ραχηλ* prius] *αυτην ιακωβ* E | 4 *ηγαπησεν* AEt^1 | 5 *λιαν* Ez | 5 *και εδουλευσεν αυτω επτα ετη ετερα* > Em | 6 *ο θεος* > c | 6 *εμισειτο* b, *μισειτε* A [non, ut uulgo traditur, *μισειται*], *μισειται* Eacmtz | 6 *λια* E, *λιαν* z | 6 *ηνοιξεν* AE | 6 *μητρα* m | 7 *συνελαβεν* AEt^1 | 7 *λια* Ez | 7/8 *τω ιακωβ υιον* E | 8 *εκαλεσε δε*] *και εκαλεσε* c | 8 *εκαλεσεν* AEt^1 | 8 *ρουβιμ* amtz | 9 *ειδεν* At^1, *ιδεν* E | 9 *μου* > Ecz | 9 post *ταπεινωσιν* + *μου* cz | 9 *και εδωκε μοι υιον* > Ac | 9 *εδωκεν* Et^1 | 10 *ουν* > AEcz | 10 *με αγαπησει* cz | 10 *συνελαβεν* AEt^1 | 10 post *παλιν* + *λεια* Aacmt, + *λια* Ez | 11 *ετεκε* z | 11 *δευτερον υιον* z | 11 *τωι ιακωβ δευτερον* mt | 11 *ηκουσεν* AEt^1 | 12 *μεισουμαι* A | 12 *προσεδωκεν* At^1, *προσεθηκεν* E | 12 *και* tertium > Ecz | 12 *εκαλεσεν* At^1, *εκαλεσεν δε* E, *εκαλεσε δε* cz | 13 *συλλαβουσα ετι ετεκεν* D [GR] | 13 *ετι* > E | 14 *καιρου* ay | 14 *προς εμου εσται*] *προσκειται προς με* E | 15 *ετεκον* Ecz | 15 *εκαλεσεν* Et^1, *εκληθη* A | 16 *λευι* AD [GR] cmtz, *λευιν* E | 16 *ετι* > Emtz | 17 *ειπεν* AEt^1 | 17 *τουτο* prius > Ez | 17 *εξομολογησωμαι* E | 17 ante *κυριω* + *τω* D [GR] mz | 17 post *κυριω* + *τω θεω* E | 17/1 *εκαλεσεν* AEt^1

30 λεσε τὸ ὄνομα αὐτοῦ Ἰούδαν. καὶ ἔστη τοῦ τίκτειν. 1 ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, καὶ ἐζήλωσε Ῥαχὴλ τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακὼβ Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. 2 θυμωθεὶς δὲ Ἰακὼβ τῇ Ῥαχὴλ εἶπεν αὐτῇ Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας; 3 εἶπε δὲ Ῥαχὴλ τῷ Ἰακὼβ Ἰδοὺ ἡ παιδίσκη μου Βαλλά· εἴσελθε πρὸς αὐτήν, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς. 4 καὶ ἔδωκεν αὐτῷ Βαλλὰν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα, καὶ εἰσῆλθε πρὸς αυτὴν Ἰακώβ. 5 καὶ συνέλαβε Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. 6 καὶ εἶπε Ῥαχὴλ Ἔκρινέ μοι ὁ θεὸς καὶ ἐπήκουσε τῆς φωνῆς μου καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν. 7 καὶ συνέλαβεν ἔτι Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ. 8 καὶ εἶπε Ῥαχὴλ Συναντελάβετό μου ὁ θεός, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου, καὶ ἠδυνάσθην· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλεί. 9 εἶδε δὲ Λεία ὅτι ἔστη τοῦ τίκτειν, καὶ ἔλαβε Ζελφὰν τὴν παιδίσκην αὐτῆς καὶ ἔδωκεν αὐτὴν τῷ Ἰακὼβ

1 *ιουδα* AD [GR] E | 1 *τεκειν* c | 2 initio *ραχηηλ* z[1], *ραχιηλ* z[2] | 2 *τετοκεν* AEt[1], *τετεκε* a | 2 *και* > Ez | 2 *εζηλωσεν* AEt[1] | 2 ante *ραχηλ* alterum + *λειαν* mt | 2 in fine *ραχιηλ* z | 2 ante *την* + *λιαν* z | 2/3 *η αδελφη* t | 3 *ειπεν* AEt[1] | 3 *τω ιακωβ* > E | 3 *τεκνον* Ec | 4 *θυμωθεις* aby, *εθυμωθη* AD [GR] Ecmtz | 4 *την ραχηλ* t | 4 ante *ειπεν* + *και* AD [GR] Ecmtz | 5 *αιτη* > E | 5 ante *θεου* + *του* AD [GR] | 5 *εστερησεν* AEt[1] | 6 *ειπεν* AEt[1] | 6 *ραχηλ* > z | 6 *τω ιακωβ*] *αυτω* z | 6 *βαλλα* > z | 7/8 *και τεκνοποιησομαι* Eabmtyz, *ινα τεκνοποιησωμαι* A, *και τεκνοποιηθησομαι* c | 8 *και εγω* D [GR], *καγω* > c | 8 *εδωκε* c | 8 *αυτω* > c | 8 *βαλαν* z | 9 *αυτω γυναικα* > z | 9 *και* > Ecmt | 9 *εισηλθεν* A, *εισηλθεν δε* Et[1], *εισηλθε δε* cmt[2] | 10 *συνελαβεν* AEt[1] | 10 *βαλα* z | 10 *παδισκη* E | 10 *ετεκεν* AEt[1]z | 11 *υιον τω ιακωβ* z | 11 *ειπεν* AEt[1] | 11 *εκρινεν* AEt[1] | 11 *ο θεος*] *κυριος* E | 12 *επηκουσεν* AE, *εισηκουσε* m | 12 *εδωκεν* AE, *εδοκεν* t[1], *εδοκε* t[2] | 12 *τουτο*] *του* E | 12/13 *εκαλεσεν* AEt[1] | 13 *βαλα* z | 15 *ειπεν* AEt[1] | 15 *ραχηλ* > Ec | 15 *συναντελαβετο μου* bmt, *συνεβαλετο μοι* A [*β* prima manu super uersum], *συναντιλαβοιτο μοι* z, *συνελαβετο μοι* D [GR] Eacy. „ita [ut b] LL UU et Ioannes Chrysostomus. in aliis est *συνελαβετο μοι*. Aquila *συνανεστρεψεν με*“ b | 15 *συνεστραφην* ayz | 15 post *μου* + *και ειπον* z | 16 *εδυνασθην* cmt, *εδυνηθην* z | 16 *εκαλεσεν* AEt[1] | 17 *νεφθαλεμ* E, *νεφθαλειμ* acmtyz | 17 *ιδεν* AE, *ειδεν* t[1] | 17 *λια* Ez | 17 *απεστη* c, *ἔστι* z | 17 *ελαβεν* AEt[1] | 18 *ζελφαν* > c

γυναῖκα. 10 καὶ εἰσῆλθε πρὸς αὐτήν· καὶ συνέλαβε Ζελφὰ ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. 11 καὶ εἶπε Λεία Ἐν τύχῃ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ. 12 καὶ συνέλαβεν ἔτι Ζελφὰ ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱὸν δεύτερον. 13 καὶ εἶπε Λεία Μακαρία ἐγώ, ὅτι μακαριοῦσί με αἱ γυναῖκες· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ. 14 ἐπορεύθη δὲ Ῥουβὴν ἐν ἡμέρᾳ θερισμοῦ πυρῶν καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ πρὸς Λείαν τὴν μητέρα αὐτοῦ. εἶπε δὲ Ῥαχὴλ τῇ Λείᾳ τῇ ἀδελφῇ αὐτῆς Δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. 15 εἶπε δὲ Λεία Οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε δὲ Ῥαχὴλ Οὐχ οὕτως· κοιμηθήτω μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου. 16 εἰσῆλθεν δὲ Ἰακὼβ ἐξ ἀγροῦ ἑσπέρας,

1 και εισηλθε προς αυτην > D [GB] Eacy | 1 και prius > Amtz | 1 εισηλθεν δε At¹, εισηλθε δε mt²z | 1 post δε suum + ιακωβ z | 1 post αυτην + ιακωβ Amt | 1 και alterum > Ecz | 1 συνελαβεν At¹, συνελαβεν δε E, συνελαβε δε cz | 2 λιας E [z = b] | 2 ετεκεν AEt | 2 ειπεν AEt¹ | 2 λια Em, λιαν z | 3 εν τυχη] ευτυχηκα cmtz. „ita [ut b] LL UU et Hieronymus. AA LL ευτυχηκα. Theodoretus ευτυχηκα ου του ιακωβ εστι ρημα, αλλα της λειας γυναικος εν δυσσεβειᾳ τραφεισης και κατα βραχυ τα θεια παιδευομενης. ουτω και ο ταυτης πατηρ εφη το οιωνισαμην“ b | 3 επωνομασεν AE²t¹, επονομαςεν E¹, επονομασε z | 3 גד Lagarde gesammelte abhandlungen 16, 23 | 3/4 συνελαβε mt² | 4 ετι > D [GB] Emt | 4 λιας Ez | 4 ετεκε abcz, ετεκεν E, ετεκεν ετι AD [GB] mt | 5 ειπεν AEt¹ | 5 λια Ez | 5/6 μακαριουσι bmtz, μακαριζουσιν AD [GB] E, μακαριζουσι acy. „ita [ut b] LL UU, Ioannes Chrysostomus, Cyrillus et Philo. in aliis est μακαριζουσι με. et ita Hieronymus“ b | 6 ante αι + πασαι AE | 6 αι > m¹ | 6 και > E | 6 εκαλεσεν At¹, εκαλεσεν δε E | 6 ασειρ ay. in margine b ασειρ [!] addita hac adnotatione „AA LL addunt ὅ εστι πλουτος. quod improbat Hieronymus“ | 6 post ασηρ + πλουτος Ez | 7 ρουβιμ Eamtz | 7 ημεραις AD [GB] Ez | 7 ευρεν AEmt¹ | 8 μανδραγορου AD [GB] Eay, μανδραγουρων z. Lagarde gesammelte abhandlungen 67, 8 | 8 λιαν Ez | 9 ειπεν AEt¹ | 9 τη λειᾳ > z | 9 τη prius > c | 9 λια E | 9 τη αδελφη αυτης > AD [GB] E | 10 uulgo non docent A hoc loco μανδραγορων habere. μανδραγουρων z | 10 ειπε δε] και ειπε z | 10 ειπεν AEt¹ | 10 λια E, λιαν z | 11 σοι > t | 11 μη] αλλα E | 11/12 τας μανδραγουρας z | 11/12 μανδραγορους AD [GB] | 12 λημψη AE | 12 ειπεν AEt¹, και ειπεν z | 12 δε ραχηλ > z | 13 τη νυκτι ταυτη z | 14 εισηλθεν ADEabt¹y, εισηλθε cmt²z. de b uulgo errant | 14 δε > ay

καὶ ἐξῆλθε Λεία εἰς συνάντησιν αὐτῷ καὶ εἶπε Πρὸς ἐμὲ
εἰσελεύσῃ σήμερον· μεμίσθωμαι γάρ σε ἀντὶ τῶν μανδρα-
γορῶν τοῦ υἱοῦ μου· καὶ ἐκοιμήθη μετ' αὐτῆς τὴν νύκτα
ἐκείνην. 17 καὶ ἐπήκουσεν ὁ θεὸς Λείας, καὶ συλλαβοῦσα
ἔτεκε τῷ Ἰακὼβ υἱὸν πέμπτον. 18 καὶ εἶπε Λεία Δέδωκέ
μοι ὁ θεὸς τὸν μισθόν μου ἀνθ' οὗ ἔδωκα τὴν παιδίσκην
μου τῷ ἀνδρί μου· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσσάχαρ,
ὅ ἐστι μισθός. 19 καὶ συνέλαβεν ἔτι Λεία καὶ ἔτεκεν υἱὸν
ἕκτον τῷ Ἰακώβ. 20 καὶ εἶπε Λεία Δεδώρηται ὁ θεός μοι
δῶρον καλὸν ἐν τῷ νῦν καιρῷ· αἱρετιεῖ με ὁ ἀνήρ μου,
τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ
Ζαβουλών. 21 καὶ μετὰ τοῦτο ἔτεκε θυγατέρα, καὶ ἐκάλεσε
τὸ ὄνομα αὐτῆς Δεῖνα. 22 ἐμνήσθη δὲ ὁ θεὸς τῆς Ῥαχήλ· καὶ
ἐπήκουσεν αὐτῆς ὁ θεὸς καὶ ἀνέῳξεν αὐτῆς τὴν μήτραν·
23 καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχὴλ
Ἀφεῖλεν ὁ θεὸς μου τὸ ὄνειδος· 24 καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτοῦ Ἰωσὴφ λέγουσα Προσθέτω ὁ θεός μοι υἱὸν ἕτερον.
25 ἐγένετο δέ, ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσήφ, εἶπεν Ἰακὼβ τῷ
Λάβαν Ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ
εἰς τὴν γῆν μου. 26 ἀπόδος τὰς γυναῖκάς μου καὶ τὰ παιδία

1 εξηλθεν ADEt[1], εισηλθε ay, ηλθε z | 1 λια Ez [D=b] | 1 αυτου z [D=b] | 1 ειπεν ADEt[1]z | 1 ante προς + αυτω z | 1 εμε] με Dcmtz | 2 ελευση a | 2 μεμεισθωμαι t | 3 και εκοιμηθη] εκοιμηθη δε E | 3/4 τη νυκτι εκεινη z | 4 ο θεος λειας abcmt, αυτης ο θεος A, ο θεος της λιας E, ο θεος λιας z | 5 ετεκεν AD [Tischendorf κεν edidit, sed non uidit] Ect[1] | 5 τω ιακωβ c post πεμπτον ponit | 5 ειπεν ADEmt[1] | 5 λια Ez [D=b] | 5 δεδωκεν Az, εδωκεν DEamt[1], εδωκε t[2] | 6 μοι > DEamz, habet t | 6 μου] μοι E | 6 ου DEabmtz, ων Ac | 7 εκαλεσεν ADEt[1], ονομασε z | 7 ισαχαρ z | 8 εστιν ADE. scr ἔστιν Ἔστι | 8 λια A, „ε inseruit [supra uersum] manus uetusta“. λια Ez | 9 εκτον > E | 9 ειπεν AEt[1] | 9 λια Ez | 9 μοι ο θεος D [GR] Ecz | 10 ερετιει D [GR], αιρετισει E | 11 ετεκον cz | 11 εξ υιους c | 11 και > E | 11 εκαλεσεν At[1], εκαλεσεν δε E | 12 τουτον a [y=b] | 12 ετεκεν AEct[1] | 12 εκαλεσεν AEt[1] | 13 δῖνα c, δῖνα z | 13 post δεινα + και εστη του τικτειν A | 13 της > Ac | 14 αυτη ο θεος ay | 14 ηνεωξεν D [GR] E | 14 την μητραν αυτης D [GR] | 14 μητρα m | 15 ετεκεν AEct[1]z | 15 υιον τω ιακωβ cz | 15 ειπεν At[1], και ειπεν E | 15 δε > E | 16 αφηλεν E | 16 αφειλε μου ο θεος c, αφειλε μοι ο θεος z | 16 μου post το ονειδος ponit m | 16 εκαλεσεν AEt[1] | 16 τω ονομα z | 17 προσεθετο cz, προσθητω mt | 17 μοι ο θεος D [GR] Ecmtz | 17 υιον > z | 18 ετεκεν AEct[1] | 18/19 το λαβαν z | 19 με] μοι z | 20 post αποδος + μοι AD [GR] Ec | 20 μου alterum > AE

μου, περὶ ὧν δεδούλευκά σοι, ἵνα ἀπέλθω· σὺ γὰρ γινώσκεις τὴν δουλείαν, ἣν δεδούλευκά σοι. [27] *εἶπε δὲ αὐτῷ Λάβαν Εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν· εὐλόγησε γάρ με ὁ θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ.* [28] *διάστειλον τὸν μισθόν σου πρὸς μέ, καὶ δώσω.* [29] *εἶπε δὲ Ἰακὼβ Σὺ γινώσκεις, ἃ δεδούλευκά σοι καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ.* [30] *μικρὰ γὰρ ἦν, ὅσα σοι ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος· καὶ εὐλόγησέ σε κύριος ὁ θεὸς ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;* [31] *καὶ εἶπεν αὐτῷ Λάβαν Τί σοι δώσω; εἶπε δὲ αὐτῷ Ἰακὼβ Οὐ δώσεις μοι οὐθέν· ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου καὶ φυλάξω.* [32] *παρελθέτω πάντα τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἀρνάσι καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξίν· ἔσται μοι μισθός.* [33] *καὶ ἐπακούσεταί μοι ἡ δικαιοσύνη μου ἐν τῇ*

1 *μου* > AEamtyz | 1 *εδουλευσα* Eay | 1 *ινα*] *και* cz | 1 *γινωσκης* m | 2 *δουλιαν* AE | 2 *εδουλευσα* E | 2 *ειπε δε αυτω λαβαν* bis z[1] | 2 *ειπεν* AEt[1] | 3 *ευρον*] *εὗ* m | 3 *οιωνισαιμην* c, *οιωνησαμην* z | 3 *ευλογησεν* AEt[1] | 3 *γαρ* > cmt | 4 *επι* > AEac | 4 *οδω* E | 4 ante *διαστειλον* + *και ειπεν* D [GR] mt [*ν* radendo deletum in t] | 4/5 comma 28 > z | 4/5 *διαστειλον μου τον μισθον προς* E | 4 *διαστειλον*] „Aquila *επονομασον*. Symmachus *ορισον*“ b | 5 *με*] *σε* D [GR] | 5 post *δωσω* + *σοι* AD [GR] | 5 *ειπεν* AD [GR] Emt[1] | 5 post *δε* + *αυτω* AD [GR] Ecz | 5 *γινωσκης* m | 5 post *γινωσκεις* + *την δουλειαν* c | 5 *α*] *ει* E, *ην* c | 6 post *ην* + *τα* z | 7 *ην* > m [non t] | 7 post *οσα* + *ην* AE, post *σοι* + *ην* D [teste Grabio] acmtz | 7 *σοι* > AE | 7 *μου* AEcz | 7 *ηυξηνθη* z | 7/8 *ηυλογησεν* AD [GR], *ευλογησεν* Et[1] | 8 *κυριος* > E | 8 *ο θεος* > AD [GR] cmz | 8 *ποδει* A, *ποδιω* E | 9 *καγω εμαυτω* manu secunda in rasura A, manus secunda etiam *οικον* scripsit. *και εγω* D [GR] z | 9 *ἐμάυτὸ*≡ t, *ἐμαυτὸν* z | 9 *ειπε λαβαν αυτω* c | 9/10 *τι σοι δω* am[2]yz, *τι ποιησω σοι* E, *τι σοι δῶι* m[1]t | 10 *ειπεν* At[1], *και ειπεν* E | 10 *δε* > E | 10 *αυτω* > mt | 10 *ου δωσεις μοι* > m | 10 *ου*] *και* z | 10 *ουδεν* D [GR] Ez | 11 *ποιησεις* Az | 11 *μοι* > Em | 12 *και* E *κα* scribit | 12 *παρελθατω* AD [GR] E | 12 post *παρελθετω* + *σημερον* mt | 12 *παντα* > Amtz | 12 *σου* alterum > E | 12/13 *σημερον* > mt | 13 *διαχωρησονται* E, *διαχωρισω* ay, *διαχωρησον* z | 13 *εκειθεν* > E | 13 post *προβατον* + *εκειθεν ον* E | 13 *φαιον* > E. „schol *ποικιλον, περκον*“ b | 14 *αρνασιν* AEz | 14 post *ραντον* + *εν τοις αρνασι και* a [non y] | 14 *διαλευκον και ραντον* Eb, *διαραντον και λευκον* A | 14 *αιξαισιν* E | 14 ante *εσται* + *και* D [GR] | 15 *μοι* prius] *σοι* t | 15 ante *μισθος* + *ο* z | 15 *σ* alterum uocis *μισθος* in rasura A

ἡμέρᾳ τῇ ἐπαύριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου· πᾶν, ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶ καὶ φαιὸν ἐν τοῖς ἀρνάσι, κεκλεμμένον ἔσται παρ' ἐμοί. 34 εἶπε δὲ αὐτῷ Λάβαν Ἔστω κατὰ τὸ ῥῆμά σου. 35 καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ τοὺς διαλεύκους καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους καὶ πᾶν, ὃ ἦν φαιὸν ἐν τοῖς ἀρνάσι, καὶ πᾶν, ὃ ἦν λευκὸν ἐν αὐτοῖς, καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ. 36 καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν καὶ ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ· Ἰακὼβ δὲ ἐποίμαινε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα. 37 ἔλαβε δὲ ἑαυτῷ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν καὶ καρυΐνην καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς Ἰακὼβ λεπίσματα λευκά· καὶ περισύρων τὸ χλωρόν, ἐφαίνετο ἐπὶ ταῖς ῥάβδοις τὸ λευκόν, ὃ ἐλέπισε, ποικίλον. 38 καὶ παρέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν, ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα, ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν,

manu secunda | 15 post μισθος + και εσται μοι ay | 15 uulgo και omittunt contra b | 15 επακουσετε z | 15 μοι alterum] μου cmtz

1 τῃ] ταυτη z | 1 επαυριον ab, αυριον AD [GB] Emtz, υάριον c | 1 ο > E | 1 εναντιον E | 2 εαν > D [GB], αν cmtz | 2 και prius] η c | 2 αιξιν At[1]z, αιξεσιν E | 3 αρνασιν AE | 3 κεκλεισμενον z | 3 ειπεν AEt[1] | 4 αυτῳ > E | 4 εσται D [GB] | 5 γ uocis τραγους manu secunda in rasura A | 5/6 „Symmachus λευκοποδας“ b | 5/6 λευκους E | 6 και πασας τας αιγας τας ραντας και τας διαλευκους > z | 6 τας tertium > ay | 7 και παν ο ην φαιον εν τοις αρνασιν [sic] AE post αυτοις 8 ponit. ita D [Grabii] amt, nisi quod αρνασι | 7 παν φαιον ο ην εν c | 7/8 και παν ο ην λευκον εν αυτοις > z | 8 εδωκεν AEt[1] | 8 post αυτου + ποιμνιον καταμονας cz | 8/9 α uocis απεστησεν in rasura „a correctore antiquo“ A | 9 και prius > AD [GB] Ecmtz | 9/10 αυτων et ιακωβ in E locos mutant | 10 δε usque 31, 12 προβατα > D [GB] | 10 εποιμαινεν At[1], εποιμενεν E | 11 ελαβεν AEt[1] | 11 ιακωβ ἀντω z | 11 αυτω AEay | 11/12 quae inter ραβδον 11 et ιακωβ 12/13 media, > a [non y] | 12 χλωραν > E | 12 καρυινην] „schol αμυγδαλινην“ b | 12 ελεπησεν z | 13 λεπησματα z | 13 λευκα] χλωρα z | 13 και > AEcmtz | 13 περισυρας z | 13 χλωρον] λευκον ay. „ita [ut b] LL UU et Ioannes Chrysostomus. in aliis est το λευκον“ b | 13 post χλωρον + το επι των σκυταλων z | 14 ante επι + δε AEcmtz | 14 επι] εν E | 14 τας ραβδους z | 14 ταις Eabcmt, τοις A | 14 λευκον] χλωρον E | 14 ελεπισεν AE, ελ∎επισε∎ t, ελεπησε z | 14/15 παρεθηκεν AEt[1] | 15 ελεπεισεν E, ελεπησεν z | 15 τοις bcy, ταις AEamtz | 15/16 ποτηριων t, ποτηστηριων z | 16 ελθωσιν AE, ελθῃ z | 16 πινειν mt, πειειν z

ἐνώπιον τῶν ῥάβδων ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσή-
σωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. 39 καὶ ἐνεκίσσων τὰ
πρόβατα εἰς τὰς ῥάβδους, καὶ ἔτικτον τὰ πρόβατα διάλευκα
καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά. 40 τοὺς δὲ ἀμνοὺς διέ-
στειλεν Ἰακώβ, καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν
διάλευκον καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς· καὶ διεχώρισεν
ἑαυτῷ ποίμνια καθ᾽ ἑαυτόν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ
πρόβατα Λάβαν. 41 ἐγένετο δὲ ἐν τῷ καιρῷ ᾧ ἐνεκίσσων
τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους
ἐναντίον τῶν προβάτων ἐν τοῖς ληνοῖς, τοῦ ἐγκισσῆσαι αὐτὰ
κατὰ τὰς ῥάβδους. 42 ἡνίκα δ᾽ ἂν ἔτεκε τὰ πρόβατα, οὐκ
ἐτίθει· ἐγένετο δὲ τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα
τοῦ Ἰακώβ. 43 καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφόδρα· καὶ
ἐγένετο αὐτῷ κτήνη πολλὰ καὶ βόες καὶ παῖδες καὶ παιδίσκαι
καὶ κάμηλοι καὶ ὄνοι. 1 ἤκουσε δὲ Ἰακὼβ τὰ ῥήματα τῶν 31
υἱῶν Λάβαν λεγόντων Εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς
ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν
δόξαν ταύτην. 2 καὶ εἶδεν Ἰακὼβ τὸ πρόσωπον τοῦ Λάβαν,

1 post *ραβδων* + *και* A | 1 *αυτον* E[1] | 1 *εις το* > m | 1 *πινειν* z | 1/2 *ενκισσησωσιν* A, *εκκισσησωσιν* E, *εγκισησωσι* mt, *εγγισωσι* z | 2/3 *και* usque *ραβδους* > Aacyz | 2 loco *ενεκισσων* E *ελθοντων εις το πιειν εκισσησαν* | 3 post *προβατα* alterum + *ποικιλα* E | 4 *σποδοει* A[1], prima manu correctum. *σποδη* z[2]? | 4 *δε* > E | 5 *εστησεν*] *εθηκεν* cz | 5 *εναντιων* t | 5 *κροιῶν* z | 6 *και παμποικιλον* m | 6 *διεχωρησεν* tz | 8 post *καιρῳ* + *εν* m, + *εκεινω* z | 8 *ῳ ενεκισσων*] *ὡς ἂν ἐκίσσησε* z | 9 *ν* uocis *εν* in rasura A: fueratne *γ*? | 9 post *εθηκεν* + *δε* E | 10 *εναντιων* t | 10 *τοις* bc, *ταις* AEmtyz. aldinam uix dubito *ταις* uoluisse, nam ɔɔ numquam pro *οις* scriptum me reperire memini | 10 *ενκισσησαι* A, *εγγισσησαι* z | 10 *αυτα*] *αὐτῷ* m | 11 *δ αν ετεκον* Ec, *δε ετικτε* z, *γαρ ετεκον* A, mt[2] = b [*ετεκεν* t[1]] | 12 *ετιθη* t | 12 *μεν* > AEacmtyz | 12 *ασημα*] „Aquila *οψιμα*, Symmachus *δευτερογονα*“ b | 12 *του*] *τω* E | 13 *του*] *τω* E | 13 *επλουτισεν* z | 14 *και* primum > E | 14 *και* secundum et tertium > a | 14 *και* secundum > mty | 15 *και* prius > amtyz | 15 post *ονοι* + *και ημιονοι* c | 15 *ηκουσεν* AEt[1] | 16 *τα* > z | 16 „litera *π* uocis *πατρος* nouo atramento obducta est a manu recenti“ A | 17 *και εκ των του πατρος ημων* > z | 17 *εκ των* manu secunda in rasura A | 17 *των* > E | 17 *πεποιηκεν* A, *εποιησεν* E, *εποιησε* z | 18 *ταυτην* > mt | 18 literae *ειδ* uocis *ειδεν* manu prima in rasura septem elementorum capaci A ita, ut singula elementa rescripta singulae literae radendo deletae et praecedant et sequantur. *ιδεν* Ez | 18 *του* > AEmz, habet t

ἐσμεν. [5] εἶπε δὲ αὐτοῖς Γινώσκετε Λάβαν τὸν υἱὸν Ναχώρ; οἱ δὲ εἶπαν Γινώσκομεν. [6] εἶπε δὲ αὐτοῖς Ὑγιαίνει; οἱ δὲ εἶπαν Ὑγιαίνει· καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων. [7] καὶ εἶπεν Ἰακὼβ Ἔτι ἐστὶν ἡμέρα πολλή, οὔπω ὥρα συναχθῆναι τὰ κτήνη· ποτίσαντες τὰ πρόβατα ἀπελθόντες βόσκετε. [8] οἱ δὲ εἶπαν Οὐ δυνησόμεθα ἕως τοῦ συναχθῆναι πάντας τοὺς ποιμένας, καὶ ἀποκυλίσουσι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ποτιοῦμεν τὰ πρόβατα. [9] ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς, καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ Λάβαν ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς· αὐτὴ γὰρ ἔβοσκε τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς. [10] ἐγένετο δέ, ὡς εἶδεν Ἰακὼβ τὴν Ῥαχὴλ τὴν θυγατέρα Λάβαν ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ καὶ τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ προσελθὼν Ἰακὼβ ἀπεκύλισε τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ἐπότιζε τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς

1 *εσμεν* > c | 1 *ειπεν* AEt¹ | 1 post *αυτοις* + *ιακωβ* E | 1 post *αυτοις* + *μη* c | 1 *γινωσκεται* z | 1 *ἀχωρ* c | 2 *οι δε ειπον* z | 2 med *ειπεν* AEt¹ | 2 *υγιαινη* z | 3 *ειπον* cz | 3 *υγιαινη* z | 3 ante *και* + *ετι αυτου λαλουντος* AE | 3 *ραχιηλ* m | 3/4 *και* 3 usque ad *προβατων* 4 > D | 4 post *προβατων* + *του πατρος αυτης αυτη γαρ εβοσκεν τα προβατα του πατρος αυτης* A, + *του πατρος αυτης* Ecz | 4 post *ειπεν* + *αυτοις* c | 5 post *ουπω* + *εστιν* mt | 5 *ωρα* > c | 5 *κτηνη*] *ποιμνια* c | 6 *προβατα*] *κτηνη* E | 6 *βοσκεται* E | 6 *οι δε ειπαν* AEabmt, *ειπαν δε* D [GR], *οι δε ειπον* cz | 6 *δυναμεθα* c, *δυνησωμεθα* z | 7 *ποιμαινας* m¹? certe *ε* prima manu in rasura | 7/8 *αποκυλισωσι* Acmt, *αποκυλισωσιν* D [GR] E, *αποκυλισωμεν* z | 8 *του στοματος* > c | 8 *του φρεατος* > E | 9 *ποβατα* E¹? | 9 *ιδου* > Aamtz | 10 *η θυγατηρ λαβαν* > mt | 10 *η* > c | 11/12 *αυτη* 11 usque ad *αυτης* 12 > E | 11 *αὔτη* mt, *ἀυτή* z | 11 *εβοσκεν* At¹ | 12 *ιδεν* AD [GR] E | 12 *την* prius > c | 12 *την* alterum > AD [GR?] cmtz | 12/15 *την θυγατερα* 12 usque ad *ιακωβ* 15 > E | 12/13 a uoce *θυγατερα* usque ad *ημερων* 113, 10 in D „omnia sunt exesa et charta insuper recentior folio obducta, exceptis uerbis 113, 4 *και δραμουσα ανηγγειλεν τω πατρι αυτης*" | 13 *αδελ'*▮▮▮*φ*▮*ο*▮*υ*▮ A. „syllabam *φου* fini lineae praecedentis olim adscriptam manus prima derasit, scalpro deleuit etiam manus eadem literas quasdam in initio lineae sequentis mendose exaratas, earumque loco ultimam syllabam uocis *αδελφου* rescripsit" | 13/14 *και τα προβατα λαβαν του αδελφου της μητρος αυτου* > Amt | 14 *λαβαν του αδελφου της μητρος* > z | 14 *και* > z | 15 *απεκυλισεν* A, *απεκυλησεν* E | 16 *εποτισεν* AE [m¹?], *εποτισε* cmz, *εποτησε* t

αὐτοῦ. [11] καὶ ἐφίλησεν Ἰακὼβ τὴν Ῥαχήλ, καὶ βοήσας τῇ φωνῇ αὐτοῦ ἔκλαυσε. [12] καὶ ἀπήγγειλε τῇ Ῥαχὴλ ὅτι ἀδελφὸς τοῦ πατρὸς αὐτῆς ἐστί, καὶ ὅτι υἱὸς Ῥεβέκκας ἐστί. καὶ δραμοῦσα ἀπήγγειλε τῷ πατρὶ αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. [13] ἐγένετο δέ, ὡς ἤκουσε Λάβαν τὸ ὄνομα Ἰακὼβ τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ, ἔδραμεν εἰς συνάντησιν αὐτῷ, καὶ περιλαβὼν αὐτὸν ἐφίλησε, καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ· καὶ διηγήσατο τῷ Λάβαν πάντας τοὺς λόγους τούτους. [14] καὶ εἶπεν αὐτῷ Λάβαν Ἐκ τῶν ὀστῶν μου καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ἦν μετ' αὐτοῦ μῆνα ἡμερῶν. [15] εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ Ὅτι γὰρ ἀδελφός μου εἶ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι τίς ὁ μισθός σου ἐστί. [16] τῷ δὲ Λάβαν ἦσαν δύο θυγατέρες· ὄνομα τῇ μείζονι Λεία καὶ ὄνομα τῇ νεωτέρᾳ Ῥαχήλ. [17] οἱ δὲ ὀφθαλμοὶ Λείας ἀσθενεῖς, Ῥαχὴλ δὲ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα. [18] ἠγάπησε δὲ Ἰακὼβ τὴν Ῥαχήλ, καὶ εἶπε Δουλεύσω σοι ἑπτὰ ἔτη περὶ τῆς Ῥαχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας. [19] εἶπε δὲ αὐτῷ Λάβαν Βέλτιον δοῦναί με

1 κατεφιλησεν mt | 2 εκλαυσεν AEmt¹ | 2 ανηγγειλεν AE, απηγγειλεν mt | 2 ante τη + ιακωβ mt | 2 την ραχηλ z, αυτη ιακωβ E | 2/3 αδελφος του πατρος αυτης εστι και οτι > z | 3 του πατρος > E | 3 εστιν utroque loco AEmt¹ | 3 και οτι υιος ρεβεκκας εστι > a [non y] | 3/4 ρεβεκκας εστιν αδελφης του πατρος αυτης και δραμουσα z | 4 και] η δε E | 4 ανηγγειλεν D [GB] E. ex A Baberus in uolumine I απηγγειλεν adfert, in uolumine IV ανηγγειλεν, illius απηγγειλεν mentione in uolumine IV non facta. uulgo de his tacent. απηγγειλεν t¹ | 5 εγενετο δε Eabcmtz, και εγενετο A | 5 ηκουσεν AE | 6 υιου της manu prima in rasura A | 6 συναντησιν αυτου Acmz [sed t αυτωι] | 7 εφιλησεν αυτον E | 7 εφιλησεν AEcz, κατεφιλησεν t¹, κατεφιλησε mt² | 7 αυτον alterum > E | 8 τω > Emtz | 9 τουτους] αυτου c | 9 οστεων Ec | 11 ειπε δε abcmt², ειπεν δε At¹, και ειπεν D [GB] E, και ειπε z | 11 post ει + συ z | 12 δουλευσης μου m | 12 τί σου ο μισθος c | 12 τι z | 13 εστιν AEmt¹ | 13 δυο θυγατερες ησαν c | 13 θυγατεραις m | 14 λια AE, λιαν z | 14 νεωτερα] δευτερα cz | 14 οι δε οφθαλμοι > z | 15 λιας E, η δε λιαν z | 15 ασθενης z | 15 ην > Ec | 15 τω ειδει καλη E | 15 ιδει A, ειδη z¹ | 16 σφοδρα > AD [GB] | 16 ηγαπησεν AEt¹ | 16 δε την ραχηλ ο ιακωβ c | 16 ειπεν AEmt¹ | 17 σοι > z | 17 περι AEabcmtz, υπερ D [GB] | 17 της prius > AD [GB] Ecmtz | 18 ειπεν AEt¹ | 18 αυτω > D [GB] cmt | 18/1 βελτιον σοι δουναι με αυτην ἢ c | 18 με δουναι E, δουναι μοι a [y = b] m [t = b] z

αὐτὴν σοὶ ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον μετ' ἐμοῦ. [20] καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη· καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν. [21] εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν Δός μοι τὴν γυναῖκά μου (πεπλήρωνται γὰρ αἱ ἡμέραι), ὅπως εἰσέλθω πρὸς αὐτήν. [22] συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου καὶ ἐποίησε γάμον. [23] καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λείαν τὴν θυγατέρα αὐτοῦ εἰσήγαγεν πρὸς Ἰακώβ, καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ. [24] ἔδωκε δὲ Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ Ζελφὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην. [25] ἐγένετο δὲ πρωί, καὶ ἰδοὺ ἦν Λεία. εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν Τί τοῦτο ἐποίησάς μοι; οὐ περὶ Ῥαχὴλ ἐδούλευσα παρὰ σοί; καὶ ἵνα τί παρελογίσω με; [26] ἀπεκρίθη δὲ Λάβαν Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέραν. [27] συντέλεσον οὖν τὰ ἕβδομα ταύτης, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας ἧς ἐργᾷ παρ' ἐμοὶ ἔτι ἑπτὰ ἔτη ἕτερα. [28] ἐποίησε δὲ Ἰακὼβ οὕτως, καὶ ἀνεπλή-

1 *σοι*] *συ* z | 1 *δουναι μοι* z | 1 *αυτην* alterum] *ἀυτῆι* t | 1 *ετερω ανδρι* E | 1 post *οικησον* + *ουν* z | 2 *εδουλευσεν δε ιακωβ* E | 2 *ετη επτα* D [GR] cmt | 2/4 quae inter *και* alterum 2 et *αυτην* 4 media, > A | 3 *ωσει* E | 4 *ειπεν* AEt¹ | 4/5 comma 21 > a, habet y | 4 *τω*] *προς* Ecz | 4 *δος* bc, *αποδος* AD [GR] Eyz, *παράδως* mt | 4 *μοι* > Emty | 5 post *ημεραι* + *μου* AD [GR] mty | 6 *συνηγαγεν* AEt¹ | 7 *εποιησεν* AE | 7 *γαμον*] „Aquila et Symmachus *ποτον*“ b | 7 loco *και* prioris E *ως δε* | 7 *εσπερα εγενετο* E | 7 *και* alterum > E | 7 post *λαβων* + *λαβαν* D [?GR] Eamtyz | 7 *λιαν* Ez | 8 *εισηγαγε* c | 8 post *εισηγαγεν* + *αυτην* AD [GR] Eamtyz | 8 *ιακωβ*] *αυτον* z | 8/9 *και εισηλθε προς αυτην ιακωβ* > z | 8 *εισηλθεν* AEt¹ | 8/9 *ιακωβ προς αυτην* E | 9 ante *ιακωβ* + *ο* m | 9 *εδωκεν* AEt¹ | 9 post *λαβαν* + *ζελφαν* Aay | 9 *λειαν ζελφαν τηι* t [sic] | 9 *λειᾳ τη θυγατρι αυτου* > D hoc loco, habet loco *αυτη* uersu sequenti [GR]. *τη θυγατρι αυτου λια* E | 9 *λιαν* z | 10 *ζελφαν* > Aaty | 10 *αυτου αυτη παιδισκην* > ay | 10 *αυτη* > t | 10 *εγενετο δε*] *και εγενετο δε* c [sic] | 11 *τοπρωι* c | 11 *λια* Ez | 11 *ειπε δε*] *και ειπεν* mt | 11 *ειπεν* AE | 11 *τω* > A, *προς τον* c | 12 *παρα* > AEctz | 13 *και* > z | 13 *ινα τι*] *ϊτι* D [GR] | 13 „schol *ενηδρευσας με*“ b | 13 *με* > z, *μαι* E | 13 *απεκριθη* ab, *ειπεν* AD [GR] Et¹, *ειπε* cmt²z | 13 *εσται* E | 14 *ημων*] *τουτω* c | 14 *ἤ*] *ἰ* E, > c | 14/15 *της πρεσβυτερας* c | 16 *αντι*] *απο* c | 16 *εργασει* D [GR: "*σαι*?], *ειργασω* E | 16 *ετι* > Ecm [habet t] z | 17 *ετη επτα* Ecmz | 17 *εποιησε δε ιακωβ ουτως* > m [habet t] | 17 *εποιησεν* ADEt¹ | 17/1 *ανεπληρωσεν* ADEt¹, *ενεπληρωσε* z

ρωσε τὰ ἕβδομα ταύτης· καὶ ἔδωκεν αὐτῷ Λάβαν Ῥαχὴλ τὴν θυγατέρα αὐτοῦ αὐτῷ γυναῖκα. [29] ἔδωκε δὲ Λάβαν τῇ θυγατρὶ αὐτοῦ Βαλλὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην. [30] καὶ εἰσῆλθε πρὸς Ῥαχήλ· ἠγάπησε δὲ Ῥαχὴλ μᾶλλον ἢ Λείαν· καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα. [31] ἰδὼν δὲ κύριος ὁ θεὸς ὅτι ἐμισεῖτο Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα. [32] καὶ συνέλαβε Λεία καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβὴν λέγουσα Διότι εἶδέ μου κύριος τὴν ταπείνωσιν καὶ ἔδωκέ μοι υἱόν· νῦν οὖν ἀγαπήσει με ὁ ἀνήρ μου. [33] καὶ συνέλαβε πάλιν καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ, καὶ εἶπεν ὅτι Ἤκουσε κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Συμεών. [34] καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱόν, καὶ εἶπεν Ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Λευεί. [35] καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱόν, καὶ εἶπε Νῦν ἔτι τοῦτο ἐξομολογήσομαι κυρίῳ· διὰ τοῦτο ἐκά-

1 αυτης c | 1 εδωκε mt^{2} | 1 αυτῳ > AEmt, habet etiam D | 2 init τηι θυγατρι t, sero correctum | 2 αυτου > m^{1} | 2 γυναικι z | 2/3 εδωκε δε λαβαν τη θυγατρι αυτου > E | 2 εδωκεν ADt^{1} | 2 post λαβαν + ραχηλ Acmtz | 2 a τῃ usque ad finem commatis 33 omnia > D [GR] | 2/3 την θυγατερα z | 3 ante βαλλαν + και E | 3 βαλαν z | 3 αυτου αυτῳ παιδισκην > ay | 3 αυτῇ] αυτην t | 4 εισηλθεν AEt^{1}z | 4 ante προς + ιακωβ z | 4 post προς + την c | 4 ραχηλ prius] αυτην ιακωβ E | 4 ηγαπησεν AEt^{1} | 5 λιαν Ez | 5 και εδουλευσεν αυτω επτα ετη ετερα > Em | 6 ο θεος > c | 6 εμισειτο b, μισειτε A [non, ut uulgo traditur, μισειται], μισειται Eacmtz | 6 λια E, λιαν z | 6 ηνοιξεν AE | 6 μητρα m | 7 συνελαβεν AEt^{1} | 7 λια Ez | 7/8 τω ιακωβ υιον E | 8 εκαλεσε δε] και εκαλεσε c | 8 εκαλεσεν AEt^{1} | 8 ρουβιμ amtz | 9 ειδεν At^{1}, ιδεν E | 9 μου > Ecz | 9 post ταπεινωσιν + μου cz | 9 και εδωκε μοι υιον > Ac | 9 εδωκεν Et^{1} | 10 ουν > AEcz | 10 με αγαπησει cz | 10 συνελαβεν AEt^{1} | 10 post παλιν + λεια Aacmt, + λια Ez | 11 ετεκε z | 11 δευτερον υιον z | 11 τωι ιακωβ δευτερον mt | 11 ηκουσεν AEt^{1} | 12 μεισουμαι A | 12 προσεδωκεν At^{1}, προσεθηκεν E | 12 και tertium > Ecz | 12 εκαλεσεν At^{1}, εκαλεσεν δε E, εκαλεσε δε cz | 13 συλλαβουσα ετι ετεκεν D [GR] | 13 ετι > E | 14 καιρου ay | 14 προς εμου εσται] προσκειται προς με E | 15 ετεκον Ecz | 15 εκαλεσεν Et^{1}, εκληθη A | 16 λευι AD [GR] cmtz, λευιν E | 16 ετι > Emtz | 17 ειπεν AEt^{1} | 17 τουτο prius > Ez | 17 εξομολογησωμαι E | 17 ante κυριῳ + τω D [GR] mz | 17 post κυριῳ + τω θεω E | 17/1 εκαλεσεν AEt^{1}

30 λεσε τὸ ὄνομα αὐτοῦ Ἰούδαν. καὶ ἔστη τοῦ τίκτειν. [1]ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, καὶ ἐζήλωσε Ῥαχὴλ τὴν ἀδελφὴν αὐτῆς, καὶ εἶπε τῷ Ἰακὼβ Δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ. [2]θυμωθεὶς δὲ Ἰακὼβ τῇ Ῥαχὴλ εἶπεν αὐτῇ Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας; [3]εἶπε δὲ Ῥαχὴλ τῷ Ἰακὼβ Ἰδοὺ ἡ παιδίσκη μου Βαλλά· εἴσελθε πρὸς αὐτήν, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς. [4]καὶ ἔδωκεν αὐτῷ Βαλλὰν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα, καὶ εἰσῆλθε πρὸς αυτὴν Ἰακώβ. [5]καὶ συνέλαβε Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. [6]καὶ εἶπε Ῥαχὴλ Ἔκρινέ μοι ὁ θεὸς καὶ ἐπήκουσε τῆς φωνῆς μου καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν. [7]καὶ συνέλαβεν ἔτι Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ. [8]καὶ εἶπε Ῥαχὴλ Συναντελάβετό μου ὁ θεός, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου, καὶ ἠδυνάσθην· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλεί. [9]εἶδε δὲ Λεία ὅτι ἔστη τοῦ τίκτειν, καὶ ἔλαβε Ζελφὰν τὴν παιδίσκην αὐτῆς καὶ ἔδωκεν αὐτὴν τῷ Ἰακὼβ

1 *ιουδα* AD [GR] E | 1 *τεκειν* c | 2 initio *ραχηηλ* z[1], *ραχιηλ* z[2] | 2 *τετοκεν* AEt[1], *τετεκε* a | 2 *και* > Ez | 2 *εζηλωσεν* AEt[1] | 2 ante *ραχηλ* alterum + *λειαν* mt | 2 in fine *ραχιηλ* z | 2 ante *την* + *λιαν* z | 2/3 *η αδελφη* t | 3 *ειπεν* AEt[1] | 3 *τω ιακωβ* > E | 3 *τεκνον* Ec | 4 *θυμωθεις* aby, *εθυμωθη* AD [GR] Ecmtz | 4 *την ραχηλ* t | 4 ante *ειπεν* + *και* AD [GR] Ecmtz | 5 *αιτη* > E | 5 ante *θεου* + *του* AD [GR] | 5 *εστερησεν* AEt[1] | 6 *ειπεν* AEt[1] | 6 *ραχηλ* > z | 6 *τω ιακωβ*] *αυτω* z | 6 *βαλλα* > z | 7/8 *και τεκνοποιησομαι* Eabmtyz, *ινα τεκνοποιησωμαι* A, *και τεκνοποιηθησομαι* c | 8 *και εγω* D [GR], *καγω* > c | 8 *εδωκε* c | 8 *αυτω* > c | 8 *βαλαν* z | 9 *αυτω γυναικα* > z | 9 *και* > Ecmt | 9 *εισηλθεν* A, *εισηλθεν δε* Et[1], *εισηλθε δε* cmt[2] | 10 *συνελαβεν* AEt[1] | 10 *βαλα* z | 10 *παδισκη* E | 10 *ετεκεν* AEt[1]z | 11 *υιον τω ιακωβ* z | 11 *ειπεν* AEt[1] | 11 *εκρινεν* AEt[1] | 11 *ο θεος*] *κυριος* E | 12 *επηκουσεν* AE, *εισηκουσε* m | 12 *εδωκεν* AE, *εδοκεν* t[1], *εδοκε* t[2] | 12 *τουτο*] *του* E | 12/13 *εκαλεσεν* AEt[1] | 13 *βαλα* z | 15 *ειπεν* AEt[1] | 15 *ραχηλ* > Ec | 15 *συναντελαβετο μου* bmt, *συνεβαλετο μοι* A [*β* prima manu super uersum], *συναντιλαβοιτο μοι* z, *συνελαβετο μοι* D [GR] Eacy. „ita [ut b] LL UU et Ioannes Chrysostomus. in aliis est *συνελαβετο μοι*. Aquila *συνανεστρεψεν με*" b | 15 *συνεστραφην* ayz | 15 post *μου* + *και ειπον* z | 16 *εδυνασθην* cmt, *εδυνηθην* z | 16 *εκαλεσεν* AEt[1] | 17 *νεφθαλεμ* E, *νεφθαλειμ* acmtyz | 17 *ιδεν* AE, *ειδεν* t[1] | 17 *λια* Ez | 17 *απεστη* c, *ἔστι* z | 17 *ελαβεν* AEt[1] | 18 *ζελφαν* > c

γυναῖκα. 10 *καὶ εἰσῆλθε πρὸς αὐτήν· καὶ συνέλαβε Ζελφὰ ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν.* 11 *καὶ εἶπε Λεία Ἐν τύχῃ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ.* 12 *καὶ συνέλαβεν ἔτι Ζελφὰ ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱὸν δεύτερον.* 13 *καὶ εἶπε Λεία Μακαρία ἐγώ, ὅτι μακαριοῦσί με αἱ γυναῖκες· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ.* 14 *ἐπορεύθη δὲ Ῥουβὴν ἐν ἡμέρᾳ θερισμοῦ πυρῶν καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ πρὸς Λείαν τὴν μητέρα αὐτοῦ. εἶπε δὲ Ῥαχὴλ τῇ Λείᾳ τῇ ἀδελφῇ αὐτῆς Δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου.* 15 *εἶπε δὲ Λεία Οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε δὲ Ῥαχὴλ Οὐχ οὕτως· κοιμηθήτω μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου.* 16 *εἰσῆλθεν δὲ Ἰακὼβ ἐξ ἀγροῦ ἑσπέρας,*

1 *και εισηλθε προς αυτην* > D [GR] Eacy | 1 *και* prius > Amtz | 1 *εισηλθεν δε* At^1, *εισηλθε δε* mt^{2}z | 1 post *δε* suum + *ιακωβ* z | 1 post *αυτην* + *ιακωβ* Amt | 1 *και* alterum > Ecz | 1 *συνελαβεν* At^1, *συνελαβεν δε* E, *συνελαβε δε* cz | 2 *λιας* E [z = b] | 2 *ετεκεν* AEt | 2 *ειπεν* AEt^1 | 2 *λια* Em, *λιαν* z | 3 *εν τυχη*] *ευτυχηκα* cmtz. „ita [ut b] LL UU et Hieronymus. AA LL *ευτυχηκα*. Theodoretus *ευτυχηκα ου του ιακωβ εστι ρημα, αλλα της λειας γυναικος εν δυσσεβειᾳ τραφεισης και κατα βραχυ τα θεια παιδευομενης. ουτω και ο ταυτης πατηρ εφη το οιωνισαμην*" b | 3 *επωνομασεν* AE^{2}t^1, *επονομαςεν* E^1, *επονομασε* z | 3 גד Lagarde gesammelte abhandlungen 16, 23 | 3/4 *συνελαβε* mt^2 | 4 *ετι* > D [GR] Emt | 4 *λιας* Ez | 4 *ετεκε* abcz, *ετεκεν* E, *ετεκεν ετι* AD [GR] mt | 5 *ειπεν* AEt^1 | 5 *λια* Ez | 5/6 *μακαριουσι* bmtz, *μακαριζουσιν* AD [GR] E, *μακαριζουσι* acy. „ita [ut b] LL UU, Ioannes Chrysostomus, Cyrillus et Philo. in aliis est *μακαριζουσι με*. et ita Hieronymus" b | 6 ante *αι* + *πασάι* AE | 6 *αι* > m^1 | 6 *και* > E | 6 *εκαλεσεν* At^1, *εκαλεσεν δε* E | 6 *ασειρ* ay. in margine b *ασειρ* [!] addita hac adnotatione „AA LL addunt *ὅ εστι πλουτος*. quod improbat Hieronymus" | 6 post *ασηρ* + *πλουτος* Ez | 7 *ρουβιμ* Eamtz | 7 *ημεραις* AD [GR] Ez | 7 *ευρεν* AEmt^1 | 8 *μανδραγορου* AD [GR] Eay, *μανδραγουρων* z. Lagarde gesammelte abhandlungen 67, 8 | 8 *λιαν* Ez | 9 *ειπεν* AEt^1 | 9 *τη λειᾳ* > z | 9 *τη* prius > c | 9 *λια* E | 9 *τη αδελφη αυτης* > AD [GR] E | 10 uulgo non docent A hoc loco *μανδραγορων* habere. *μανδραγουρων* z | 10 *ειπε δε*] *και ειπε* z | 10 *ειπεν* AEt^1 | 10 *λια* E, *λιαν* z | 11 *σοι* > t | 11 *μη*] *αλλα* E | 11/12 *τας μανδραγουρας* z | 11/12 *μανδραγορους* AD [GR] | 12 *λημψη* AE | 12 *ειπεν* AEt^1, *και ειπεν* z | 12 *δε ραχηλ* > z | 13 *τη νυκτι ταυτη* z | 14 *εισηλθεν* ADEabt^{1}y, *εισηλθε* cmt^{2}z. de b uulgo errant | 14 *δε* > ay

καὶ ἐξῆλθε Λεία εἰς συνάντησιν αὐτῷ καὶ εἶπε Πρὸς ἐμὲ εἰσελεύσῃ σήμερον· μεμίσθωμαι γάρ σε ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου· καὶ ἐκοιμήθη μετ' αὐτῆς τὴν νύκτα ἐκείνην. 17 καὶ ἐπήκουσεν ὁ θεὸς Λείας, καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱὸν πέμπτον. 18 καὶ εἶπε Λεία Δέδωκέ μοι ὁ θεὸς τὸν μισθόν μου ἀνθ' οὗ ἔδωκα τὴν παιδίσκην μου τῷ ἀνδρί μου· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσσάχαρ, ὅ ἐστι μισθός. 19 καὶ συνέλαβεν ἔτι Λεία καὶ ἔτεκεν υἱὸν ἕκτον τῷ Ἰακώβ. 20 καὶ εἶπε Λεία Δεδώρηται ὁ θεός μοι δῶρον καλὸν ἐν τῷ νῦν καιρῷ· αἱρετιεῖ με ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών. 21 καὶ μετὰ τοῦτο ἔτεκε θυγατέρα, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Δεῖνα. 22 ἐμνήσθη δὲ ὁ θεὸς τῆς Ῥαχήλ· καὶ ἐπήκουσεν αὐτῆς ὁ θεὸς καὶ ἀνέῳξεν αὐτῆς τὴν μήτραν· 23 καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχὴλ Ἀφεῖλεν ὁ θεός μου τὸ ὄνειδος· 24 καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσὴφ λέγουσα Προσθέτω ὁ θεός μοι υἱὸν ἕτερον. 25 ἐγένετο δέ, ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσήφ, εἶπεν Ἰακὼβ τῷ Λάβαν Ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου. 26 ἀπόδος τὰς γυναῖκάς μου καὶ τὰ παιδία

1 *εξηλθεν* ADEt^1, *εισηλθε* ay, *ηλθε* z | 1 *λια* Ez [D=b] | 1 *αυτου* z [D=b] | 1 *ειπεν* ADEt^{1}z | 1 ante *προς* + *αυτω* z | 1 *εμε*] *με* Dcmtz | 2 *ελευση* a | 2 *μεμεισθωμαι* t | 3 *και εκοιμηθη*] *εκοιμηθη δε* E | 3/4 *τη νυκτι εκεινη* z | 4 *ο θεος λειας* abcmt, *αυτης ο θεος* A, *ο θεος της λιας* E, *ο θεος λιας* z | 5 *ετεκεν* AD [Tischendorf *κεν* edidit, sed non uidit] Ect^1 | 5 *τω ιακωβ* c post *πεμπτον* ponit | 5 *ειπεν* ADEmt^1 | 5 *λια* Ez [D=b] | 5 *δεδωκεν* Az, *εδωκεν* DEamt^1, *εδωκε* t^2 | 6 *μοι* > DEamz, habet t | 6 *μου*] *μοι* E | 6 *ου* DEabmtz, *ων* Ac | 7 *εκαλεσεν* ADEt^1, *ονομασε* z | 7 *ισαχαρ* z | 8 *εστιν* ADE. scr *ἐστιν* Ἔστι | 8 *λια* A, „*ε* inseruit [supra uersum] manus uetusta“. *λια* Ez | 9 *εκτον* > E | 9 *ειπεν* AEt^1 | 9 *λια* Ez | 9 *μοι ο θεος* D [GR] Ecz | 10 *ερετιει* D [GR], *αιρετισει* E | 11 *ετεκον* cz | 11 *εξ υιους* c | 11 *και* > E | 11 *εκαλεσεν* At^1, *εκαλεσεν δε* E | 12 *τουτον* a [y=b] | 12 *ετεκεν* AEct^1 | 12 *εκαλεσεν* AEt^1 | 13 *δῖνα* c, *δΐνα* z | 13 post *δεινα* + *και εστη του τικτειν* A | 13 *της* > Ac | 14 *αυτη ο θεος* ay | 14 *ηνεωξεν* D [GR] E | 14 *την μητραν αυτης* D [GR] | 14 *μητρα* m | 15 *ετεκεν* AEct^{1}z | 15 *υιον τω ιακωβ* cz | 15 *ειπεν* At^1, *και ειπεν* E | 15 *δε* > E | 16 *αφηλεν* E | 16 *αφειλε μου ο θεος* c, *αφειλε μοι ο θεος* z | 16 *μου* post *το ονειδος* ponit m | 16 *εκαλεσεν* AEt^1 | 16 *τω ονομα* z | 17 *προσεθετο* cz, *προσθητω* mt | 17 *μοι ο θεος* D [GR] Ecmtz | 17 *υιον* > z | 18 *ετεκεν* AEct^1 | 18/19 *το λαβαν* z | 19 *με*] *μοι* z | 20 post *αποδος* + *μοι* AD [GR] Ec | 20 *μου* alterum > AE

μου, περὶ ὧν δεδούλευκά σοι, ἵνα ἀπέλθω· σὺ γὰρ γινώσκεις τὴν δουλείαν, ἣν δεδούλευκά σοι. 27 εἶπε δὲ αὐτῷ Λάβαν Εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν· εὐλόγησε γάρ με ὁ θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ. 28 διάστειλον τὸν μισθόν σου πρός μέ, καὶ δώσω. 29 εἶπε δὲ Ἰακὼβ Σὺ γινώσκεις, ἃ δεδούλευκά σοι καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ. 30 μικρὰ γὰρ ἦν, ὅσα σοι ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος· καὶ εὐλόγησέ σε κύριος ὁ θεὸς ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον; 31 καὶ εἶπεν αὐτῷ Λάβαν Τί σοι δώσω; εἶπε δὲ αὐτῷ Ἰακὼβ Οὐ δώσεις μοι οὐθέν· ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου καὶ φυλάξω. 32 παρελθέτω πάντα τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἀρνάσι καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξίν· ἔσται μοι μισθός. 33 καὶ ἐπακούσεταί μοι ἡ δικαιοσύνη μου ἐν τῇ

1 μου > AEamtyz | 1 εδουλευσα Eay | 1 ινα] και cz | 1 γινωσκης m | 2 δουλιαν AE | 2 εδουλευσα E | 2 ειπε δε αυτω λαβαν bis z[1] | 2 ειπεν AEt[1] | 3 ευρον] εὗ m | 3 οιωνισαιμην c, οιωνησαμην z | 3 ευλογησεν AEt[1] | 3 γαρ > cmt | 4 επι > AEac | 4 οδω E | 4 ante διαστειλον + και ειπεν D [GR] mt [ν radendo deletum in t] | 4/5 comma 28 > z | 4/5 διαστειλον μου τον μισθον προς E | 4 διαστειλον] „Aquila επονομασον. Symmachus ορισον“ b | 5 με] σε D [GR] | 5 post δωσω + σοι AD [GR] | 5 ειπεν AD [GR] Emt[1] | 5 post δε + αυτω AD [GR] Ecz | 5 γινωσκης m | 5 post γινωσκεις + την δουλειαν c | 5 α] ει E, ην c | 6 post ην + τα z | 7 ην > m [non t] | 7 post οσα + ην AE, post σοι + ην D [teste Grabio] acmtz | 7 σοι > AE | 7 μου AEcz | 7 ηυξηνθη z | 7/8 ηυλογησεν AD [GR], ευλογησεν Et[1] | 8 κυριος > E | 8 ο θεος > AD [GR] cmz | 8 ποδει A, ποδιω E | 9 καγω εμαυτω manu secunda in rasura A, manus secunda etiam οικον scripsit. και εγω D [GR] z | 9 ἐμάυτὸ▮ t, ἐμαυτὸν z | 9 ειπε λαβαν αυτω c | 9/10 τι σοι δω am[2]yz, τι ποιησω σοι E, τι σοι δῶ m[1]t | 10 ειπεν At[1], και ειπεν E | 10 δε > E | 10 αυτω > mt | 10 ου δωσεις μοι > m | 10 ου] και z | 10 ουδεν D [GR] Ez | 11 ποιησεις Az | 11 μοι > Em | 12 και E κα scribit | 12 παρελθατω AD [GR] E | 12 post παρελθετω + σημερον mt | 12 παντα > Amtz | 12 σου alterum > E | 12/13 σημερον > mt | 13 διαχωρησονται E, διαχωρισω ay, διαχωρησον z | 13 εκειθεν > E | 13 post προβατον + εκειθεν ον E | 13 φαιον > E. „schol ποικιλον, περκον“ b | 14 αρνασιν AEz | 14 post ραντον + εν τοις αρνασι και a [non y] | 14 διαλευκον και ραντον Eb, διαραντον και λευκον A | 14 αιξαισιν E | 14 ante εσται + και D [GR] | 15 μοι prius] σοι t | 15 ante μισθος + ο z | 15 σ alterum uocis μισθος in rasura A

ἡμέρᾳ τῇ ἐπαύριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου· πᾶν, ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶ καὶ φαιὸν ἐν τοῖς ἀρνάσι, κεκλεμμένον ἔσται παρ' ἐμοί. [34] εἶπε δὲ αὐτῷ Λάβαν Ἔστω κατὰ τὸ ῥῆμά σου. [35] καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ τοὺς διαλεύκους καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους καὶ πᾶν, ὃ ἦν φαιὸν ἐν τοῖς ἀρνάσι, καὶ πᾶν, ὃ ἦν λευκὸν ἐν αὐτοῖς, καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ. [36] καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν καὶ ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ· Ἰακὼβ δὲ ἐποίμαινε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα. [37] ἔλαβε δὲ ἑαυτῷ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν καὶ καρυΐνην καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς Ἰακὼβ λεπίσματα λευκά· καὶ περισύρων τὸ χλωρόν, ἐφαίνετο ἐπὶ ταῖς ῥάβδοις τὸ λευκόν, ὃ ἐλέπισε, ποικίλον. [38] καὶ παρέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν, ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα, ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν,

manu secunda | 15 post *μισθος* + *και εσται μοι* ay | 15 uulgo *και* omittunt contra b | 15 *επακουσετε* z | 15 *μοι* alterum] *μου* cmtz

1 *τη*] *ταυτη* z | 1 *επαυριον* ab, *αυριον* AD [GR] Emtz, *υἄριον* c | 1 *ο* > E | 1 *εναντιον* E | 2 *εαν* > D [GR], *αν* cmtz | 2 *και* prius] *η* c | 2 *αιξιν* At^1z, *αιξεσιν* E | 3 *αρνασιν* AE | 3 *κεκλεισμενον* z | 3 *ειπεν* AEt^1 | 4 *αυτω* > E | 4 *εσται* D [GR] | 5 *γ* uocis *τραγους* manu secunda in rasura A | 5/6 „Symmachus *λευκοποδας*“ b | 5/6 *λευκους* E | 6 *και πασας τας αιγας τας ραντας και τας διαλευκους* > z | 6 *τας* tertium > ay | 7 *και παν ο ην φαιον εν τοις αρνασιν* [sic] AE post *αυτοις* 8 ponit. ita D [Grabii] amt, nisi quod *αρνασι* | 7 *παν φαιον ο ην εν* c | 7/8 *και παν ο ην λευκον εν αυτοις* > z | 8 *εδωκεν* AEt^1 | 8 post *αυτου* + *ποιμνιον καταμονας* cz | 8/9 *α* uocis *απεστησεν* in rasura „a correctore antiquo“ A ¶ 9 *και* prius > AD [GR] Ecmtz | 9/10 *αυτων* et *ιακωβ* in E locos mutant | 10 *δε* usque 31, 12 *προβατα* > D [GR] | 10 *εποιμαινεν* At^1, *εποιμενεν* E | 11 *ελαβεν* AEt^1 | 11 *ιακωβ ἀυτω* z | 11 *αυτω* AEay | 11/12 quae inter *ραβδον* 11 et *ιακωβ* 12/13 media, > a [non y] | 12 *χλωραν* > E | 12 *καρυινην*] „schol *αμυγδαλινην*“ b | 12 *ελεπησεν* z | 13 *λεπησματα* z | 13 *λευκα*] *χλωρα* z | 13 *και* > AEcmtz | 13 *περισυρας* z | 13 *χλωρον*] *λευκον* ay. „ita [ut b] LL UU et Ioannes Chrysostomus. in aliis est *το λευκον*“ b | 13 post *χλωρον* + *το επι των σκυταλων* z | 14 ante *επι* + *δε* AEcmtz | 14 *επι*] *εν* E | 14 *τας ραβδους* z | 14 *ταις* Eabcmt, *τοις* A | 14 *λευκον*] *χλωρον* E | 14 *ελεπισεν* AE, *ελ*[illegible]*επισε*[illegible] t, *ελεπησε* z | 14/15 *παρεθηκεν* AEt^1 | 15 *ελεπεισεν* E, *ελεπησεν* z | 15 *τοις* bcy, *ταις* AEamtz | 15/16 *ποτηριων* t, *ποτηστηριων* z | 16 *ελθωσιν* AE, *ελθη* z | 16 *πινειν* mt, *πειειν* z

ἐνώπιον τῶν ῥάβδων ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσή-
σωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους. 39 καὶ ἐνεκίσσων τὰ
πρόβατα εἰς τὰς ῥάβδους, καὶ ἔτικτον τὰ πρόβατα διάλευκα
καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά. 40 τοὺς δὲ ἀμνοὺς διέ-
στειλεν Ἰακώβ, καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν
διάλευκον καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς· καὶ διεχώρισεν
ἑαυτῷ ποίμνια καθ' ἑαυτόν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ
πρόβατα Λάβαν. 41 ἐγένετο δὲ ἐν τῷ καιρῷ ᾧ ἐνεκίσσων
τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους
ἐναντίον τῶν προβάτων ἐν τοῖς ληνοῖς, τοῦ ἐγκισσῆσαι αὐτὰ
κατὰ τὰς ῥάβδους. 42 ἡνίκα δ' ἂν ἔτεκε τὰ πρόβατα, οὐκ
ἐτίθει· ἐγένετο δὲ τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα
τοῦ Ἰακώβ. 43 καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφόδρα· καὶ
ἐγένετο αὐτῷ κτήνη πολλὰ καὶ βόες καὶ παῖδες καὶ παιδίσκαι
καὶ κάμηλοι καὶ ὄνοι. 1 ἤκουσε δὲ Ἰακὼβ τὰ ῥήματα τῶν 31
υἱῶν Λάβαν λεγόντων Εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς
ἡμῶν, καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν
δόξαν ταύτην. 2 καὶ εἶδεν Ἰακὼβ τὸ πρόσωπον τοῦ Λάβαν,

1 post ῥαβδων + και A | 1 αυτον E[1] | 1 εις το > m | 1 πινειν z | 1/2 ενκισσησωσιν A, εκκισσησωσιν E, εγκισησωσι mt, εγγισωσι z | 2/3 και usque ῥαβδους > Aacyz | 2 loco ενεκισσων E ελθοντων εις το πιειν εκισσησαν | 3 post προβατα alterum + ποικιλα E | 4 σποδοει A[1], prima manu correctum. σποδη z[2]? | 4 δε > E | 5 εστησεν] εθηκεν cz | 5 εναντιων t | 5 κροιῶν z | 6 και παμποικιλον m | 6 διεχωρησεν tz | 8 post καιρῳ + εν m, + εκεινω z | 8 ῳ ενεκισσων] ὡς ἂν ἐκίσσησε z | 9 ν uocis εν in rasura A: fueratne γ? | 9 post εθηκεν + δε E | 10 εναντιων t | 10 τοις bc, ταις AEmtyz. aldinam uix dubito ταις uoluisse, nam ɔɔ numquam pro οις scriptum me reperire memini | 10 ενκισσησαι A, εγγισσησαι z | 10 αυτα] αὐτῶ m | 11 δ αν ετεκον Ec, δε ετικτε z, γαρ ετεκον A, mt[2] = b [ετεκεν t[1]] | 12 ετιθη t | 12 μεν > AEacmtyz | 12 ασημα] „Aquila οψιμα, Symmachus δευτερογονα“ b | 12 του] τω E | 13 του] τω E | 13 επλουτισεν z | 14 και primum > E | 14 και secundum et tertium > a | 14 και secundum > mty | 15 και prius > amtyz | 15 post ονοι + και ημιονοι c | 15 ηκουσεν AEt[1] | 16 τα > z | 16 „litera π uocis πατρος nouo atramento obducta est a manu recenti“ A | 17 και εκ των του πατρος ημων > z | 17 εκ των manu secunda in rasura A | 17 των > E | 17 πεποιηκεν A, εποιησεν E, εποιησε z | 18 ταυτην > mt | 18 literae ειδ uocis ειδεν manu prima in rasura septem elementorum capaci A ita, ut singula elementa rescripta singulae literae radendo deletae et praecedant et sequantur. ιδεν Ez | 18 του > AEmz, habet t

καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡσεὶ χθὲς καὶ τρίτην ἡμέραν. [3] εἶπε δὲ κύριος πρὸς Ἰακὼβ Ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ. [4] ἀποστείλας δὲ Ἰακὼβ ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον, οὗ ἦν τὰ ποίμνια, [5] καὶ εἶπεν αὐταῖς Ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν ὅτι οὐκ ἔστι πρὸς ἐμοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν· ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ᾽ ἐμοῦ. [6] καὶ αὐταὶ δὲ οἴδατε ὅτι ἐν πάσῃ τῇ ἰσχύι μου δεδούλευκα τῷ πατρὶ ὑμῶν. [7] ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνῶν, καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ θεὸς κακοποιῆσαί με. [8] ἐὰν οὕτως εἴπῃ Τὰ ποικίλα ἔσται σου μισθός: καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα· ἐὰν δὲ εἴπῃ Τὰ λευκὰ ἔσται σου μισθός: καὶ τέξεται πάντα τὰ πρόβατα λευκά. [9] καὶ ἀφείλετο ὁ θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν καὶ ἔδωκέ μοι αὐτά. [10] καὶ ἐγένετο, ἡνίκα ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. [11] καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ θεοῦ καθ᾽ ὕπνον Ἰακώβ. ἐγὼ δὲ εἶπα

1 *και ιδου* Aabcmtyz, *οτι* E | 1 *προς αυτον*] *προσωπον αυτου* ay | 1 *ωσει χθες* aby, *ως εχθες* AE, *ως χθες* cmtz | 2 *ειπεν* AEt[1] | 2/3 *του πατρος* manu prima in rasura A, literae *τ υ*, ut uidetur, in corio intacto | 3 *και εσομαι μετα σου* > E | 4 *εκαλεσεν* AEt[1] | 4 *ραχηλ και λιαν* A | 4 *λιαν* mz [E = b] | 4 *ραχιηλ* z | 5 *παιδιον* A | 5 *ην* > Aamtyz | 5 *αυτοις* ay | 5 *ο* uocis *το* manu prima in rasura A | 6 *ημων* E | 6 *εστιν* AEt[1] | 6 *προς* Eabcmtz, *μετ* A | 6 *εμε* Eayz | 7 *χθες* cmtz | 8 *τη* > AEc | 8/9 *εδουλευσα* E | 9 *παρεκρουσατο* Aabcmtyz, *παρελογισατο* E. „Aquila et Symmachus *παρελογισατο με*" b | 10 *ακυλας Και ηλλαξε την μισθωσιν μου δεκα αριθμους. συμμαχος Και ηλλαξε τον μισθον μου δεκακις αριθμω* m in commentario. „Aquila *δεκα αριθμους*, Symmachus *δεκακις αριθμῳ*. Eusebius *ο συρος δεκακις αντι του πολλακις*" b | 10 *ηλλαξεν* AE, *ηλαξε* c | 11 post *θεος* + *του πατρος μου* ay | 12 *εστω σοι* mt | 13 > z | 13 *ποικειλα* E | 13 *εσται σοι* mt | 14 usque ad *προβατα* [hoc incluso] > z | 14 *αφειλατο* AEz, *αφειλεν* c | 15 *τα κτηνη τα του* z[1], ut uidetur: prima manu mutatum in *τα κτηματα του* | 15 *εδωκεν* AE | 16 *ἔκισσον* z | 16 *εν γαστρι λαμβανοντα* > Aamtyz | 17 init *ιδον* AE | 17 ante *τοις* + *εν* A | 17 *μου* > AEayz | 17 ante *εν* + *αυτα* Eacmty | 18 ante *επι* + *ησαν* AEmtz | 19 *και ποικιλοι* > ay | 19 *σποδεῖς* z[2]?, *δοει* heic ut 121, 4 linea sub uersu ducta deletum | 19 *ειπεν* AEt[1] | 20 *ιακωβ ιακωβ* AEcmt | 20 *ειπον* cz

Τί ἐστι; [12]καὶ εἶπεν Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς· ἑώρακα γάρ, ὅσα σοι Λάβαν ποιεῖ. [13]ἐγώ εἰμι ὁ θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· νῦν οὖν ἀνάστηθι καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ. [14]καὶ ἀποκριθεῖσαι Ῥαχὴλ καὶ Λεία εἶπαν αὐτῷ Μὴ ἔστιν ἡμῖν ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; [15]οὐχ ὡς αἱ ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, καὶ καταβρώσει κατέφαγε τὸ ἀργύριον ἡμῶν. [16]πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ θεὸς τοῦ πατρὸς ἡμῶν, ἡμῖν ἔσται καὶ τοῖς τέκνοις ἡμῶν· νῦν οὖν, ὅσα σοι εἴρηκεν ὁ θεός, ποίει. [17]ἀναστὰς δὲ Ἰακὼβ ἔλαβε τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία αὐτοῦ ἐπὶ τὰς καμήλους· [18]καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτῷ καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτοῦ, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ, ἀπελθεῖν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ εἰς γῆν Χαναάν. [19]Λάβαν

1 εστιν AEt | 1 ειπε μοι αναβλεψον c | 1 αναβλεψας z | 1 τοις οφθαλμοις σου και > z | 4 ἑώρα z | 4 post εγω + δε mt | 5 post θεος + σου ay | 5 τοπῳ θεου ου Ebcmtz, τω τοπω ω A, τῳ τοπῳ θεου ου ay | 5 ηλιψα A, σ minusculo, quod „nunc nimia uetustate pene euanuit“, postea inter literas inserto. ηλιψας D [GE]. ειληψας m [sed prima manu correctum] z | 6 στειλην E | 6 εκει > cz, post ευχην mt | 6/7 απελθε AD [GE] z | 7 εκ της γης ταυτης και απελθε > z | 8 και εσομαι μετα σου > c | 8 αποκριθεισα AD [GE] ayz | 8/9 λια και ραχηλ E, λεια και ραχηλ c, λιαν και ραχηλ z | 9 ειπον Ecmtz | 9 αυτῳ > z | 9 ετι > E | 9 ἤ > c | 9 κληρονομιας c, κληρος mt | 10 τῳ οικῳ] τοις c | 10 υμων a [y = b] | 10 αι > z | 10 syllabâ αι uocis αλλοτριαι incipit F | 11 πεπρακεν AEFt^{1} | 11 κατεφαγεν καταβρωσει AD [GE] EFt^{1}, κατεφαγε καταβρωσει cmt^{2}, κατεφαγε κατα βρῶμα z | 12 ημ uocis ημων in rasura corrector uetustus in A, ita quidem, ut post μ tertia litera olim fuerit | 13 αφειλατο AD [GE] EFz | 14 σοι post θεος ponit A. ex D Grabius ειρηκεν σοι profert. ita EFt^{1} ante ο θεος. σοι ειρηκεν ante ο θεός m, sed prima manu α et β inpositis in ειρηκεν σοι mutatum. ειρηκε σοι t^{2}z | 14 post θεος + σου z | 15 ελαβεν AEFt^{1} | 15 post τας + δυο F | 15 αυτου > A | 16 post αυτου + και ανεβιβασεν αυτας z | 16 απηγαγεν AEFt^{1}, επηγαγε z | 17 αυτῳ aby, αυτου AD [GE] EFcmtz | 17 αποσκευην] „schol κτησιν“ b | 17/18 εποιησεν Eaz | 19 εις γην] εν γη t | 19 γην] την E, την γην z

δὲ ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψε δὲ Ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς. 20 ἔκρυψε δὲ Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ ὅτι ἀποδιδράσκει. 21 καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα, καὶ διέβη τὸν ποταμόν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ. 22 ἀνηγγέλη δὲ Λάβαν τῷ Σύρῳ τῇ ἡμέρᾳ τῇ τρίτῃ ὅτι ἀπέδρα Ἰακώβ. 23 καὶ παραλαβὼν τοὺς ἀδελφοὺς αὐτοῦ μεθ᾿ ἑαυτοῦ ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά, καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει Γαλαάδ. 24 ἦλθε δὲ ὁ θεὸς πρὸς Λάβαν τὸν Σύρον καθ᾿ ὕπνον τὴν νύκτα καὶ εἶπεν αὐτῷ Φύλαξαι σεαυτόν, μήποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά. 25 καὶ κατέλαβε Λάβαν τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει, Λάβαν δὲ ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῶ ὄρει Γαλαάδ. 26 εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ Τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας, καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ; 27 καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ᾿ εὐφροσύνης, καὶ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας. 28 καὶ οὐκ ἠξιώθην καταφιλῆσαι τὰ παιδία μου καὶ τὰς θυγατέρας μου· νῦν δὲ ἀφρόνως ἔπραξας. 29 καὶ νῦν ἰσχύει ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ θεὸς τοῦ

1 *κηραι* m | 1 *εκλεψεν* AEFt^1 | 2 *ιδωλα* A. „Aquila *μορφωματα*, Symmachus *θεραφειν*“ b | 2 *εκρυψεν* AEt^1, *εκλεψεν* D [GR]. de F lacero non constat utrum *ρυ* an *λε* habuerit, *ν* in fine habere eum scimus | 2 *ιακωβ δε εκρυψεν* E | 3 *απαγγειλαι* t | 3 *διδρασκει* a [y = b] | 4 *τα αυτου παντα* abc, *παντα τα αυτου* AD [GR] Fmtz | 4 ante *και* alterum + *και ανεστη* D [GR] | 6 *τη ημερα τη τριτη* abcz, *τη* [*τηι* mt] *τριτη ημερα* AEFmt | 7 ante *τους* + *παντας* AD [GR] EFamtz, + *τους υιους αυτου και* c | 7 *μεθ αυτου* F, *μετ ἀυτου* c, > z | 7 *κατεδιωξεν* cz | 9 ante uersum + *τω* D [GR] Fmty, + *τῳ* a | 9 *γαλαδ* m | 9 *ηλθεν* AEFt^1 | 9 *ο θεος*] *αγγελος* ay. F lacer | 10 *τη νυκτι* z | 10 *φυλαξε* Az | 10 *σεαυτον* > c, *σεαυτῶ* z | 11 *λαλησεις* tz | 11 *μετα*] *προς* Eacyz | 11 *ιακωβ*] *αυτον* a [y = b] | 11 *πονηρα*] *σκληρα* D [GR] mt, sed mt *σκληρα* suum ante *λαλησῃς* nostrum ponunt | 11 *κατελαβεν* AEFt^1 | 12 *επηξεν* AEFt^1 | 12 *σκηνην*] *οδον της σκευῆς* a, *οδον της σκηνης* y | 13 *εστησεν* AEFt^1 | 14 *ειπεν* ADFt^1, *και ειπεν* E | 14 *δε* > E | 14 post *εποιησας* + *τουτο* z | 14 *κρυβη* Aay. ut b etiam D | 14/15 *απεδρας κρυφη* c | 15 *και και* m | 15 *εκλοποφωρησας* m | 16 *αναγγειλας* z | 17 *μετ᾿*] *μετα* c | 17 *και* alterum > AD [GR] EFamt | 18 post *κιθαρας* D *ο* habet: sequentia desiderantur | 18 *και* alterum > AD [GR] EFcmtz | 18 *ου κατηξιωθην φιλησαι* c | 18/19 *τας θυγατερας μου και τα παιδια μου* E | 20 post

πατρός σου χθὲς εἶπε πρὸς μὲ λέγων Φύλαξαι σεαυτὸν μήποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά. 30 νῦν οὖν πεπόρευσαι· ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου· ἵνα τί ἔκλεψας τοὺς θεούς μου; 31 ἀποκριθεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν ὅτι Ἐφοβήθην· εἶπα γὰρ Μήποτε ἀφέλῃ τὰς θυγατέρας σου ἀπ᾽ ἐμοῦ καὶ πάντα τὰ ἐμά. 32 καὶ εἶπεν Ἰακὼβ Παρ᾽ ᾧ ἂν εὕρῃς τοὺς θεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν· ἐπίγνωθι τί ἐστι παρ᾽ ἐμοὶ τῶν σῶν καὶ λάβε. καὶ οὐκ ἐπέγνω παρ᾽ αὐτῷ οὐθέν· οὐκ ᾔδει δὲ Ἰακὼβ ὅτι Ῥαχὴλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς. 33 εἰσελθὼν δὲ Λάβαν ἠρεύνησεν εἰς τὸν οἶκον Λείας, καὶ οὐχ εὗρεν· καὶ ἐξῆλθεν ἐκ τοῦ οἴκου Λείας, καὶ ἠρεύνησε τὸν οἶκον Ἰακὼβ καὶ ἐν τῷ οἴκῳ τῶν δύο παιδισκῶν, καὶ

νυν + *δε* c | 20 *ισχυι* ADEFz recte, nam datiuus exprimit לאל Hebraeorum. *ισχυσει* mt | 20 ante *κακοποιησαι* + *του* D [GR] z | 20 *σε*] *σοι* z

1 *ειπε χθες* z | 1 *εχθες* AD [GR] EFmt | 1 *ειπεν* ADEFmt^1 | 1 *φυλαξε* Az, *φυλαξα* E^1, *φυλαξον* c | 1 *σεαυτῶ* z | 2 *λαλησεις* t^1? t^2=b | 2 *μετα*] *προς* E | 2 *πονηρα* AFabcmtz, *σκληρα* D | 2 *πεπορευσο* c | 3 *επιθυμια γαρ* > mt | 3 *επιθυμιαν* c | 3 *απελθειν* > Ac | 4 post *σου* + *απελθειν και* A, + *απελθειν* c | 4 *απεκριθη* omisso *δε* c | 5 *ιακωβ ειπεν τω λ* in rasura manu secunda A | 5 *ειπεν* AD [ut uidetur] EFt^1, *και ειπε* c | 5 *οτι εφοβηθην* > ADEFacy | 5 fin *ειπον* z | 6 *αφελης* AD [GR] EFmt, *ἀφελεῖ* z | 6/8 quae inter *και* alterum 6 et *ημων* 8 media, DEcz post *ουθεν* 9 ponunt | 6/7 *και ειπεν* ADFabcmtz, *ειπεν δε* E | 7 post *ειπεν* + *αυτω* A | 7 *ω*] *ον* ay | 7 *αν* abcmtz, *εαν* ADEF | 7 *ευρεθωσιν οι θεοι σου* c | 8 *εναντιων* m, *κ[α]τ[εν]αντι*.. D | 8 *τ* uocis *των* in rasura trium literarum capaci A | 8 post *επιγνωθι* + *ουν* c | 8 ante *τι* + *εἴ* z | 8 *εστιν* AEFt^1 | 8/9 *των σων παρ εμοι* ADEFcz, *των σων παρ ημιν* mt | 9 *παρ* > E | 9 *ουδεν* Ecm^{2}z. iam uide supra 6/8 | 10 *ηδη* z | 10/12 *οτι* 10 usque ad *λειας* 12 [his inclusis] > z | 11 *ηρευνησεν* DEabt, *ηραυνησεν* AF, *ηρευνησε* cm | 11 *εις* > Ecm, habet etiam t | 11 *λιας* E | 12 *ευρε* mt^2 | 12 ante *και* prius + *και εις τον [οικον λει]ας και εις τον οικον των δυο [παιδισκ]ων και ουχ ε[υρ]εν* D. Tischendorfius hoc loco officio suo adcurate edendi non bene functus uidetur. uix credi potest *εις τον οικον λειας* 11 bis adfuisse in D: priori loco palaeographiologus misenensis ille puncta posuit | 12/13 quae inter *και* prius 12 et *ιακωβ* 13 media, > m | 12 *εξηλθεν* DFbmtz, *εξελθων* AEc | 12 *λιας* E, *λεαις* F | 12/1 quae inter *και* alterum 12 et *ευρεν* 1 media, > D | 12/13 quae inter *και* alterum 12 et *παιδισκων* 13 media, > F | 12 *και* alterum > AEc | 12 *ηραυνησεν* A, *ηρευνησεν* t^1, *εισηλθεν* E | 12 in fine uersus + *εις* AE | 13 post *ιακωβ* + *και ουχ ευρεν* t^1, + *και ουχ ευρε* t^2z | 13 ante *εν*

οὐχ εὗρεν· εἰσῆλθε δὲ καὶ εἰς τὸν οἶκον Ῥαχήλ. 34 Ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σάγματα τῆς καμήλου καὶ ἐπεκάθισεν αὐτοῖς, 35 καὶ εἶπε τῷ πατρὶ αὐτῆς Μὴ βαρέως φέρε, κύριε, οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ᾽ ἐθισμὸν τῶν γυναικῶν μοι ἐστίν. ἠρεύνησε Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ, καὶ οὐχ εὗρε τὰ εἴδωλα. 36 ὠργίσθη δὲ Ἰακὼβ καὶ ἐμαχέσατο τῷ Λάβαν· ἀποκριθεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν Τί τὸ ἀδίκημά μου; καὶ τί τὸ ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου 37 καὶ ὅτι ἠρεύνησας πάντα τὰ σκεύη τοῦ οἴκου μου; τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; θὲς ὧδε ἐνώπιον τῶν ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν. 38 ταῦτά μοι εἴκοσι ἔτη ἐγώ εἰμι μετὰ σοῦ· τὰ πρόβατά σου καὶ αἱ αἶγές σου οὐκ ἠτεκνώθησαν· κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον. 39 θηριάλωτον οὐκ ἐνήνοχά σοι· ἐγὼ ἀπετίννυον παρ᾽ ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα

+ ουχ ευρεν E | 13 post παιδισκων + ηρευνησε z | 13/1 και ουχ ευρεν > E

1 ευρε mt² | 1 εισηλθεν ADEF, και εισηλθεν omisso δε sequenti mt | 1 και > Emt | 1 οικον > F | 2 ελαβεν ADEFt¹ | 2/3 των καμηλων mt | 3 επεκαθεισεν AF, επεκαθησεν m | 3 και alterum > E | 3 ειπεν AD [ut uidetur] Ft¹, ειπεν δε E | 4 post κυριε + μου m | 4 δυναμε E¹ [super uersum est emendatum] mz. δυνησομαι c | 5 τα > m, το aty | 5 καθ A, κατ emendatum manu secunda | 5 αιθισμον z | 5 γυναικιων A [D = b] EFt, γυναικειων cm | 5 μοι abcyz, μου AEFmt, μων D [GR] | 5 ηρευνησεν ADEt¹, ηραυνησεν F | 5/6 ante λαβαν + δε ADEFcmtz | 5/6 post λαβαν + ενωπιον αυτου c | 6 ευρεν ADEFt¹ | 6 ab ωργισθη usque ad comma 38 > D [GR] | 7 εμαχησατο a [y = b, sed ε ita scriptum, ut ab imperitiore possit η legi] z | 7 τῳ > az, habet y | 7/8 αποκριθεις δε ιακωβ ειπε τω λαβαν > Ez, in eorum loco z και ειπεν αυτῶ | 7 και αποκριθεις omisso δε c | 8 ειπεν AFt¹ | 8 τι alterum > z | 9 οτι κατεδιωξας οπισω μου > t | 9 οτι alterum > Emt | 9 ηραυνηκας E, ηραυ F, in quo cetera cum folio sequenti desunt. ηρευνηκας c, ηρευνησες z | 10 του οικου > Ec | 10 ευρηκας E | 11 του οικου > c | 11 ενωπιον bcz, εναντιον AEamt | 11 post ενωπιον + παντων z | 11 post και + εναντιον Emt | 13 ταυτα μοι cum ελεγξατωσαν 12 interpunctione iungit a | 13 post μοι + ετι E, sed ad ι litera η super uersum addita. ετη sequitur | 13 εικοσιν m | 13 ante εγω + ᾱ z | 14 αἱ > c | 14 αιγες] βοαι E [sic] | 15 θηριοβρωτον c, θηροβρωτον mt | 15 ανενηνοχα AD [GR] Emt | 16 απετιννυων m | 16 παρ Eabcmtz, απ A | 16 εμαυτω D [GR] | 16 utroque loco κλεματα z

νυκτός. 40 ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος μου ἀπὸ τῶν ὀφθαλμῶν μου. 41 ταῦτά μοι εἴκοσι ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου· ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάσιν. 42 εἰ μὴ ὁ θεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ ὁ φόβος Ἰσαὰκ ἦν μοι, νῦν ἂν κενόν με ἐξαπέστειλας· τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ θεός, καὶ ἤλεγξέ σε χθές. 43 ἀποκριθεὶς δὲ Λάβαν εἶπε τῷ Ἰακὼβ Αἱ θυγατέρες θυγατέρες μοῦ, καὶ υἱοὶ υἱοὶ μοῦ, καὶ τὰ κτήνη κτήνη μοῦ, καὶ πάντα, ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου· τί ποιήσω ταύταις σήμερον ἢ τοῖς τέκνοις αὐτῶν οἷς ἔτεκον; 44 νῦν οὖν δεῦρο διαθῶμαι διαθήκην ἐγώ τε καὶ σύ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. εἶπε δὲ αὐτῷ Ἰδοὺ οὐθεὶς μεθ'

1 ante *νυκτος* + *της* A | 1 *της ημερας* post *καυματι* c | 1 *εγινομην* D [GR] E | 1 *συνκαιομενος* E | 1 *καυματι* Eabcmtz, *καυσωνι* A | 2 *τῳ* > AEt | 2 *παγετος* D [GR] E | 2 *μου* > Ecmtz | 2 *απο*] *εκ* E | 3 *εικοσιν* m | 3 post *ετη* + *ᾶ* z | 3 *ειμι εγω* z | 3/4 *εν τη οικια σου ειμι εγω* D [GR] | 4 *δεκα και τεσσερα* A, *δεκατεσσερα* D [GR], *δεκα και τεσσαρα* E, *ιδ* z | 4 *δυο θυγα* manu secunda in rasura A: manus prima *δυο* non scripserat. *δυο* > cz | 5 *εξ ετη εν*] *ἐξέστιν ἐπὶ* z | 5 *εν* > t | 5 *προβασιν* E | 6 ante *τον* + *παντα* z | 6/13 quae inter *τον* 6 et *τεκνοις* 13 media, desunt in D [GR] | 6 *αμναδας* z, subter *δ* punctum | 7 *ην μοι και ο φοβος ισαακ* Ecmt: ita z, sed omisso *μοι* | 7 *αν*] *ουν* z | 7 *με κενον* E, *με κενον με* z | 7 *απεστειλας* z | 8 *μου* > m | 8 *τον*] *το* a | 8 *κοπον*] *πονον* ctz | 9 *ειδεν ο θεος* > E, *ειδε θεος* z | 9 *ιδεν* A | 9 *ηλεγξεν* AEmt[1]t[3] | 9 *εχθες* E | 9 *αποκριθεις δε*] *και αποκριθεις* z | 10 *ειπεν* AEt[1] | 10 inter utrumque *θυγατερες* + *σου* Az | 11 *υιοι* prius] *οι υιοι σου* A, *οι υιοι* sine *σου* ct, *οι* omisso et *υιοι* priori et *σου* z. ut ct etiam m, sed *οι*, licet prima manu, super uersum additum | 11 inter utrumque *κτηνη* + *σου* A | 11 *κτηνη* alterum > Ez | 11/12 *οσα συ ορας*] *τα συ ορας ολα* E | 11 *συ*] *σοι* m | 12 *εστιν* AE | 12 *ταις θυγατερες* A | 12 *ποιησεις* z | 13 *αυτων* > m | 13 *οις*] *οἳ* z | 14 *διαθωμαι* ab, *διαθησωμεθα* E, *διαθωμεν* c. *διαθωμεθα* A, sed *θα* manu prima in rasura „super spatio plurimarum literarum abrasarum“: Baberus in editione ipsa unam tantum post *α* radendo deletam significat. *διαθωμεθα* D [GR] mtz | 14 *διαθηκην* ante *διαθησωμεθα* suum E | 14 *τε* > AD [GR] Eacmtz | 14 *συ*] *σου* A[1] | 15/1 *ειπε* 15 usque ad *σου* 1 > c | 15 *ειπεν* AEmt[1] | 15 post *αυτῳ* + *ιακωβ* A | 15 *ουδις* D [GR], *ουδεις* mtz | 15 *μεθ*] *μεσον* z

ἡμῶν ἐστίν· ἴδε ὁ θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. 45 λαβὼν δὲ Ἰακὼβ λίθον ἔστησεν αὐτὸν στήλην. 46 εἶπε δὲ Ἰακὼβ τοῖς ἀδελφοῖς αὐτοῦ Συλλέγετε λίθους. καὶ συνέλεξαν λίθους, καὶ ἐποίησαν βουνόν· καὶ ἔφαγον ἐκεῖ ἐπὶ τοῦ βουνοῦ. καὶ εἶπεν αὐτῷ Λάβαν Ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ σήμερον. 47 καὶ ἐκάλεσεν αὐτὸν Λάβαν Βουνὸς τῆς μαρτυρίας, Ἰακὼβ δὲ ἐκάλεσεν αὐτὸν Βουνὸς μάρτυς. 48 εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ Ἰδοὺ ὁ βουνὸς οὗτος καὶ ἡ στήλη, ἣν ἔστησα ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ· μαρτυρεῖ ὁ βουνὸς οὗτος, καὶ μαρτυρεῖ ἡ στήλη αὕτη· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα Βουνὸς μαρτυρεῖ, 49 καὶ ἡ ὅρασις, ἣν εἶπεν Ἐπίδοι ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησόμεθα ἕτερος ἀφ᾽ ἑτέρου. 50 εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λάβῃς γυναῖκας πρὸς ταῖς θυγατράσι μου, ὅρα, οὐθεὶς μεθ᾽ ἡμῶν ἐστὶν ὁρῶν· θεὸς μάρτυς μεταξὺ ἐμοῦ καὶ μεταξὺ σοῦ. 51 καὶ εἶπε Λάβαν τῷ Ἰακὼβ Ἰδοὺ ὁ βουνὸς οὗτος καὶ μάρτυς ἡ στήλη αὕτη. 52 ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σὲ μήτε σὺ

1 *ιδε* > E, *ιδου* D [GR] mt, *ο δε* z | 2 ante *στηλην* + *ει* E [sic] | 2 *ειπεν* AEt¹ | 3 *συλλεγετε*] *συναγαγεται* z | 3 *συνηγαγον* z | 4 post *εφαγον* + *και επιον* AEmtz | 4 *εκει* > Ez | 4/5 *τον βουνον* z | 5 post *νοῦ* + *και επιον* c | 5/6 *και* 5 usque ad *σημερον* 6 > c | 5 *μαρτυρων* z | 6 *και σου* > ay | 6 *και εκαλεσεν*] *εκαλεσεν δε* E | 6 ante *λαβαν* in m *ο* radendo deletum | 7 priori loco *βουνον* E, *ο βουνος* mt | 7 *της μαρτυριας* abct, *μαρτυριας* omisso *της* Emz, *μαρτυς* A | 7 *ιακωβ δε*] *ο δε ιακωβ* c, *και ιακωβ* m, sed prima manu (*και* non deleto) *δε* super uersum additum. *και ιακωβ δε* t | 7 *αυτον*] *το ονομα αυτου* E | 8 *μαρτυς* Eabcmtz, *μαρτυρει* A | 8 *ειπεν* AEt¹ | 8 *τῳ ιακωβ ιδου* > c | 9/10 *και* prius 9 usque *αυτη* 10 > c, qui in eorum loco sufficit *μαρτυρει αναμεσον εμου και σου σημερον* | 9 post *στηλη* + *αυτη* A | 9 *εστησας* Etz | 9 *μου* [non *ε*] *και σου* in rasura a correctore antiquo A: ante *κ* spatium elementi unius uacuum | 10 *μαρτυρει*] *μαρτυς* mt | 11 post *ονομα* + *αυτου* Amtz, + *του τοπου εκεινου* E, + *του τοπου* c | 11 *μαρτυριου* E, *μαρτύριον* z | 11 *η* > E | 11 *ειπεν*] *ιδον* D [GR], *ειδεν* E, *ειπεν ο θεος* z | 11 *εφιδοι* A, *επειδοι* cz | 13 *αφ* b, *απο του* AD [GR] Ecmtyz, *του* a | 13 *ταπεινωσης* c | 13 *λαβης* Ebcy, *λαβηις* mt, *λαβοις* D [GR] z, *λημψη* A, *ληψη* a | 14 *γυναικα* a | 14 *προς* b, *επι* AD [GR] Eacmtyz | 14 *τας* z | 14 *θυγατρασιν* AE | 14 *ουδεις* Ez | 15/17 *ορων* 15 usque ad *εγω* 17 desunt in D [GR] | 15/17 quae inter *ορων* 15 et *αυτη* 17 media, > AEmtyz | 15 *ορων* > c | 15 ante *θεος* + *ο* c | 15/16 *μαρτυς αναμεσον εμου και σου και ειπε* c | 16 *βουνος*] *σωρος* a | 16 *μαρτυς* > c | 17 post *στηλη* + *ην εστησα αναμεσον εμου και σου, μαρτυρει. ο βου-*

διαβῇς πρὸς μὲ τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην
ἐπὶ κακίᾳ. [53] ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ναχὼρ κρίναι
ἀνὰ μέσον ἡμῶν. [54] καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ
πατρὸς αὐτοῦ Ἰσαάκ. καὶ ἔθυσεν θυσίαν ἐν τῷ ὄρει, καὶ ἐκά-
λεσε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον. καὶ ἐκοι-
μήθησαν ἐν τῷ ὄρει. [55] ἀναστὰς δὲ Λάβαν τὸ πρωὶ κατε-
φίλησε τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ εὐλόγησεν
αὐτούς· καὶ ἀποστραφεὶς Λάβαν ἀπῆλθεν εἰς τὸν τόπον
αὐτοῦ. [1] καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ὁδὸν ἑαυτοῦ· καὶ ἀνα- 32
βλέψας εἶδε παρεμβολὴν θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήν-
τησαν αὐτῷ οἱ ἄγγελοι τοῦ θεοῦ. [2] εἶπε δὲ Ἰακώβ, ἡνίκα
εἶδεν αὐτούς, Παρεμβολὴ θεοῦ αὕτη· καὶ ἐκάλεσε τὸ ὄνομα
τοῦ τόπου ἐκείνου Παρεμβολαί. [3] ἀπέστειλε δὲ Ἰακὼβ ἀγγέ-
λους ἔμπροσθεν αὐτοῦ πρὸς Ἠσαῦ τὸν ἀδελφὸν αὐτοῦ εἰς
γῆν Σηεὶρ εἰς χώραν Ἐδώμ· [4] καὶ ἐνετείλατο αὐτοῖς λέγων
Οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἠσαῦ Οὕτως λέγει ὁ παῖς σου

νος ουτος και η στηλη, ην εστησα, ἅυτη μαρτυρει c | 17 *διαβω εγω* omisso *μη* c | 17 *μηδε* AD [GR] Ecmtz

1 *προς με* > m | 1 *ταυτην* > z | 2 *ο θεος* alterum > z | 2 *κρινει* A, *κρινεῖ* cmt | 3 ante *και* + *αυτων*, cui asteriscus praemissus est, G, qui incipit. quousque asteriscus uel obelus ualeat, solet punctis duobus [:] indicari, quae semper adesse credi possunt, nisi ubi contrarium adfirmauero | 3/4 *ισαακ του πατρος αυτου* c | 4 *ισακ* G | 4 *και* prius > E | 4 *εθυσεν* AD [GR] GEabmt, *εθυσε* cz | 4 post *εθυσεν* + *ιακωβ* AD [GR] Gamt, + *δε ιακωβ* E | 4 post *θυσιαν* + *ιακωβ* z | 4 *εν*] *επι* z | 4/5 *εκαλεσεν* AEG, *επεκαλεσε* t | 5 post *αυτου* + *φαγειν αρτον* D [GR], + *του φαγειν αρτον* G | 5 post *εφαγον* + asterisc *αρτον* G | 6 post *ορει* + *εν ειρηνη* z | 6 *τωι πρωι* mt | 6/7 *κατεφιλησεν* AEGt[1] | 7 post *υιους* + *αυτου* AD [GR] Gamt | 7 *ηυλογησεν* EGz | 8 *απηλθεν αποστραφεις λαβαν* G, *απεστραφη λαβαν* omisso *απηλθεν* c | 8 ante *λαβαν* rasura unius literae capax t | 8/9 *τοπον εαυτου* G | 9 *και ιακωβ*] *ιακωβ δε* z | 9 *απηλθε* c | 9 *εις* > c | 9 *εαυτου οδον* Aamt, *οδον αυτου* EGcz | 9/10 *και* alterum 9 usque ad *παρεμβεβληκυιαν* 10 obelo notata G | 10 post *βλεψας* + *τοις οφθαλμοις* A, + *τοις οφθαλμοις αυτου* E, + *ιακωβ* mt | 10 *ιδεν* AD [GR] E, *ειδεν* Gmt[1] | 11 *οι* > z | 11 *ειπεν* AEGt[1] | 12 *ιδεν* AE | 12 *παρεμβολαι θεου αυται* z | 12 *εκαλεσεν* AEGt[1]z | 12 ante *το* + *ιακωβ* z | 13 *εκεινου* > D [GR] | 13 *απεστειλεν* AEGt[1] | 13/14 *αγγελους* > c | 14 *εμπροσθεν αυτου* > A, *εμπροσθεν* > m | 14 *αυτου* prius > c | 14/15 *εις γην*] *εν τη* G | 15 *σιειρ* z | 15 „pro *αυτοις* is, qui litteras renouauit, scripsit *αυτω*“ G. *αυτοις* > m | 16 altero loco *ουτω* A, sed ς minutum uel a librario ipso uel

Ἰακὼβ Μετὰ Λάβαν παρῴκησα καὶ ἐχρόνισα ἕως τοῦ νῦν· 5 καὶ ἐγένοντό μοι βόες καὶ ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι· καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ μου Ἠσαῦ, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου. 6 καὶ ἀνέστρεψαν οἱ ἄγγελοι πρὸς Ἰακὼβ λέγοντες Ἤλθομεν πρὸς τὸν ἀδελφόν σου Ἠσαῦ, καὶ ἰδοὺ αὐτὸς ἔρχεται εἰς συνάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. 7 ἐφοβήθη δὲ Ἰακὼβ σφόδρα καὶ ἠπορεῖτο· καὶ διεῖλε τὸν λαὸν τὸν μεθ᾽ ἑαυτοῦ καὶ τοὺς βόας καὶ τὰς καμήλους καὶ τὰ πρόβατα εἰς δύο παρεμβολάς. 8 καὶ εἶπεν Ἰακὼβ Ἐὰν ἔλθῃ Ἠσαῦ εἰς παρεμβολὴν μίαν καὶ κόψῃ αὐτήν, ἔσται ἡ παρεμβολὴ ἡ δευτέρα εἰς τὸ σῴζεσθαι. 9 εἶπε δὲ Ἰακὼβ Ὁ θεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ ὁ θεὸς τοῦ πατρός μου Ἰσαάκ, κύριε σὺ ὁ εἰπών μοι Ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ εὖ σε ποιήσω· 10 ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης καὶ ἀπὸ πάσης ἀληθείας ἧς ἐποίησας τῷ παιδί σου· ἐν γὰρ τῇ ῥάβδῳ μου

manu correctoris cuiusdam antiqui super uersum additum. eodem loco *ουτω* z

1 *γωλων* A, *γολων* z, *γωλωμ* D [GR] Eamty, *τωλαμ* c | 1 *και* primum secundum tertium > z | 1 *μανναχαθ* A, *μαναχα* E, *μαναχαθ* mt, *μαναχατ* z | 1 *γεβηλ* ctz | 1 *και σωφαρ* b. *σωφαρ* sine *και* ay, *σωφαν* sine *και* c, *σωφ* sine *και* Amtz, *σωρ* sine *και* E, *σωφαν* Grabius ex D profert | 1 *ωμαν* AEac, *ωμαμ* D [GR], *ωμα* mt, *ιωναν* z | 2 *και* prius > z | 2 hoc loco *σεβεγων* etiam E, *σεβαιγων* mt | 2 *ναιε* E, *αιαι* c, *εαι* z | 2 *ανα* prius b, *ωναν* ADamt, *ωνα* E, *εναν* c, *αναν* z | 2 *εστιν* > c | 2 *ανα* alterum Db, *ο ωνας* A, *ωνας* E, *ωναν* amt, *εναν* c, *αιαναν* z | 3 *ευρεν* ADEt[1] | 3 *εαμιν* c, *αιαμιν* z. „Diodorus *ο συρος και ο εβραιος τον ιαμειν υδωρ βουλονται λεγειν αντι του ευρε πηγην εν ερημω. οι δε ερμηνευσαντες αυτην πως την λεξιν την εβραικην τεθεικασι.* Aquila et Symmachus *τους ιαμειν*“ b. in margine m Theodoretus *Ο συρος λεγει πηγην αυτον ευρηκεναι. η γαρ πηγη ανα καλειται* [scribe *αινα* et disce Theodoretum *αιναν* legisse] *τη συρων φωνη. εις το αυτο εν αλλω αντιγραφω ουτω κειται Τις εστιν ουτος ο αἰνὰ ον ευρεν ο ναιν και τα εξης. αλλως. Πανταχου μεν το υδωρ αμμαιμ λεγεται εν τωι εβραικω η δε πηγη μωκωρ* [cf reliquias iuris ecclesiastici graece a me editas 48, 7 XLI. hunc librum ab eis lectum uolo, qui me libros meos nudos in mundum protrudere queruntur]. *εν γαρ τω λε ψαλμω* [Psalm 36, 10] *εις το οτι παρα σοι πηγη ζωης, εν τω εβραικω κειται μωκωρ αιιουμ. ουτε ουν τον ιαμειν κατα διοδωρον ευρον αντι του υδατος ουτε αντι της πηγης το αιναν. κατα θεοδωριτον δε*‸*το αιναν πηγην εδει λεγεσθαι, αλλ η αρα το ιαμειν. ο γαρ αιναν ευρε τον ιαμειν, ουχ ο ιαμειν τον αιναν. Οι ο. Ουτος εστιν ο αιναν ος ευρε τον ιαμειν εν τη ερημω οτε ενεμε τα υποζυγια σεβαιγων του πατρος αυτου. ακυλας αυτος αινας ος ευρε συν τουσιμειμ εν τη ερημωι εν τω βοσκειν αυτον τους ονους του σεβαιγων. Θεοδοτιων Ουτος εστιν ο αιναν ος ευρε τον ιαμειν εν τη ερημω οτε ενεμε τα βουκολια σεβαιγων του πατρος αυτου.* iam secuntur quae b ex Diodoro profert, nomine auctoris non indicato, nisi quod *εν τη ερημω* | 3 *ενεμεν* ADEt[1], *ευρε* c | 3/4 *σεβαιγων* mt: *σεβων* z, sed post *β* manu prima lineola subter uersum | 4 *ανα* etiam D. *εναν* cz | 4 *δαισων* c, *δισων* mt | 4 *και* > z | 5 *ολιβα* E, *ελιβεμαθ* c, *ελιβαμα* z | 5 *εναν* cz. *α*.. D | 5 *δισων* mt. D = b | 5 *αδαμα* E, *αβαδα* c, *αμαλα* z | 6 *ασβα* c, *ασμαμ* [uix *ασβαμ*] z | 6 *ιεθραν* AD [GR] Emt, *ιεσθραν* a, *ιεθραμ* z | 6 *χαραν* z | 6 ante *υιοι* + *οι* t | 6 *ασαρ* DEabcmtz, *σααρ* A | 6/1 *βαλααν* A, *βαλαμ* ay

λαὰμ καὶ Ζουκὰμ καὶ Ἰουκάμ. 28 οὗτοι δὲ υἱοὶ Ῥισών· Ὦς
καὶ Ἀράν. 29 οὗτοι δὲ ἡγεμόνες Χορρί· ἡγεμὼν Λωτάν, ἡγε-
μὼν Σωβάλ, ἡγεμὼν Σεβεγών, ἡγεμὼν Ἀνά, 30 ἡγεμὼν Δη-
σών, ἡγεμὼν Ἀσάρ, ἡγεμὼν Ῥισών· οὗτοι ἡγεμόνες Χορρὶ ἐν
ταῖς ἡγεμονίαις αὐτῶν ἐν γῇ Ἐδώμ. 31 καὶ οὗτοι οἱ βασιλεῖς
οἱ βασιλεύσαντες ἐν Ἐδὼμ πρὸ τοῦ βασιλεῦσαι βασιλέα ἐν
Ἰσραήλ. 32 καὶ ἐβασίλευσεν ἐν Ἐδὼμ Βαλὰκ υἱὸς Βεώρ, καὶ
ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά. 33 ἀπέθανε δὲ Βαλάκ, καὶ
ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ Βοσόρρας.
34 ἀπέθανε δὲ Ἰωβάβ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀσὼμ
ἐκ τῆς γῆς Θαιμανών. 35 ἀπέθανε δὲ Ἀσώμ, καὶ ἐβασίλευ-
σεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ
πεδίῳ Μωάβ· καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γετθαίμ. 36 ἀπέ-
θανε δὲ Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαμαδὰ ἐκ Μασ-
σεκκᾶς. 37 ἀπέθανε δὲ Σαμαδά, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ

1 *και* utrumque > z | 1 *ιουκαμ* bc, *ιωυκαμ* AEmtz, *ιεωυκαμ* D [GR], *ιωυκαν* a | 1 post *ιωυκαμ* suum + *και ουκαν* AD [GR: superest *και ουκ* post *υκαμ*] E, eodem loco + *και ουκαμ* amtz | 1 *ρεισων* AD, *ρησων* E, *ρυσων* c, *ρισσων* z | 1 *ους* E | 2 *αραμ* AEmt, *αρραν* cz. *αραν* etiam D | 2 *δε* > AD [GR] Ec | 2 *χορρει* AD, *χωρι* z | 3 *σωβαρ* E, *σοβαλ* z. D=b | 3 *σεβαιγων* mt | 3 *εναν* z. D=b | 3 *ηγεμων* ultimum > z | 3/4 *δισων* mt, *δεσσων* z. D=b | 4 *ηγεμων* utrumque > z | 4 *ασαρ* abcmt, *σααρ* AD, *ασα* E, *ασηρ* z | 4 *ρεισων* AD, *και ρεισων* z, *ρησων* c | 4/5 *χορρι* 4 usque ad *αυτων* 5 > z | 4 *χορρει* AD, *χωρρι* ay | 5 *οι*] *η* E | 6 ante *εδωμ* + *γη* D [GR] z, + *γῃ* a | 6 *βασιλεα* > z | 7 *ισραηλ* Eabcmtz, *ιερουσαλημ* A | 7 *εβασιλευσαν* z | 7 ante *βεωρ* nostrum + *του* AD [GR] Eamt | 7 *βαιωρ* cmt | 7 post *βεωρ* + *βασιλευς μωαβ* z | 8 *απεθανεν* AEt¹ | 8 *δε* > z | 8 *βαλεκ* E, *βαλαακ* ay | 9/10 quae inter *ιωβαβ* 9 et *αυτου* 10 media, > z | 9 *ιωβαδ* A, *ιωβακ* Ea | 9/12 quae inter *ζαρα* 9 et *υιος* 12 media, > E | 9 post *ζαρα* + nunc radendo deletum *ουτος εστιν ιωβ* t, quod ad *ιωβαβ* pertinet | 9 *βοσορας* am¹, *βοσσορας* m²t | 10 *απεθανεν* At¹ | 10 *ασομ* AD [GR] cz, *ασσωμ* t | 11 *της* > Az | 11 *θεμανων* Ac. *α* uocis *θαιμανων* prima manu super uersum m, *θαιμαν* z | 11 *απεθανεν* At¹ | 11 *ασομ* AD [GR] cz, *ασσωμ* t | 11 post *ασωμ* + *ο εκ της θαιμανων* ay | 12 *αδατ* z | 12 *ο*] *και* t | 13 *παιδιω* A | 13 *μωαμ* Ec | 13 *γεθθαιμ* AD [GR] Eamt, *γεθεμ* c | 13/14 *απεθανεν* AEt¹ | 14 *αδαμ* E, *αδατ* z | 14 *σαμαδα* abmt, *σαμαα* c, *σαλαμα* A, *σαμαλα* D [GR], *αδαμα* E, *σαμαλακ ο* z | 14/15 *μασεκκας* AD [GR] Ect, *μασσεκας* m, *μασεκας* z | 15 *απεθανεν* AEt¹ | 15 *σαμαα* b¹c, *σαμαδα* in editione romana e correctura calamo facta, *σαλαμα* A, *σαμαλα* D [GR], *σαλμα* E, *σαμαλακ* z | 15 post *σαμαδα* + *εκ μασσεκας* m, + *εκ μασεκκας* t

Σαοὺλ ἐκ Ῥοωβὼθ τῆς παρὰ ποταμόν. 38 ἀπέθανε δὲ Σαούλ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Βαλλενὼν υἱὸς Ἀχοβώρ. 39 ἀπέθανε δὲ Βαλλενὼν υἱὸς Ἀχοβώρ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀρὰδ υἱὸς Βαράδ· καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογώρ· ὄνομα δὲ τῇ γυναικὶ αὐτοῦ Μετεβεήλ, θυγάτηρ Ματραῖθ υἱοῦ Μαιζοώβ. 40 ταῦτα τὰ ὀνόματα τῶν ἡγεμόνων Ἠσαῦ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ τόπον αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν· ἡγεμὼν Θαμνά, ἡγεμὼν Γωλά, ἡγεμὼν Ἰεθέρ, 41 ἡγεμὼν Ὀλιβεμάς, ἡγεμὼν Ἡλάς, ἡγεμὼν Φινών, 42 ἡγεμὼν Κενέζ, ἡγεμὼν Θαιμάν, ἡγεμὼν Μαζάρ, 43 ἡγεμὼν Μαγεδιήλ, ἡγεμὼν Ζαφωίν· οὗτοι ἡγεμόνες Ἐδὼμ ἐν ταῖς κατῳκοδομημέναις ἐν τῇ γῇ τῆς κτήσεως αὐτῶν.

1 ροωωθ A¹, ροωβωθ A² [librarius ipse correxit: Baberus in uolumine quarto ρωωθ et ρωβωθ profert], θεβωρ E, ρωωθωθ mt, ροβοτ z | 1 απεθανεν AEt¹ | 2 βαλαεννων Amtz, βαλαενων D [GR], βαλαεννωρ E, βαλλαενων a, βαλενων c | 2/3 υιος αχοβωρ απεθανεν δε βαλαεννων > A¹, prima manu in fine uersus additum | 2/3 απεθανεν AEt¹ | 3 δε > m | 3 βαλαενων D [GR], βαλαεννωρ E, βαλλαενων a, βαλενων c, βαλαεννων Amt, και αυτος z | 3 υιος αχοβωρ > z | 3 χοβωρ A¹D [GR] | 4 αραθ AEc, αδαλ z | 4 βαραθ A, φαραδ z | 4/5 ονομα δε] και ονομα E | 5 δε > c | 5 ματεβουηλ z | 5 ηρ μα uocum θυγατηρ ματραειθ in rasura A | 5 ματραειθ A, μαραιθ E, ματριδαδ z | 5/6 μεζοοβ AEc, μεζοο D [GR: „sed est in fine lineae, ut forsitan β addi debuerit"], μεζοωβ mt, μεζοοφ z | 6 ηγεμονων] υιων m [non t] | 7 τοπων t, προσωπον D [GR] | 7 post αυτων secundum + εν ονομασιν αυτων a | 8 post αυτων + ηγεμων θαιμαν mt | 8 post θαμνα + ηγεμων φεινων mt | 8 ηγεμων, quod ante γωλα nostrum est, > z | 8 γολα z | 8 post γωλα + ηγεμων κενεζ mt | 8/9 ηγεμων > z | 9 ιεβερ A, ιεθαρ a, εθοομ z | 9 post ιεθερ + ηγεμων μαζαρ mt | 9 ελιβεμας AEc, ελειβαμας D [GR], ελειβεμα mt, ελιβαμαν z | 9 post ολιβεμας nostrum + ηγεμων μεγεδιηλ mt | 9 ηγεμων secundum et tertium > z | 9 ολας c, si uersioni latinae credendum, graecum ego ιλας legerem. atque ita mt. ιηλας z | 9/11 quae inter ηγεμων tertium 9 et μαγεδιηλ 11 media, > mt. uide supra. cf me ad prouerbiorum 15, 27 | 9/10 φινες A, φεινων D [GR] [mt] z | 10 κενες c | 10 ηγεμων secundum et tertium > z | 10 θεμαν Ecz | 10 μαξαρ E | 11 ηγεμων utrumque > z | 11 μαγεδιηλ ab, μετοδιηλ A, μαλελιηλ E, [μεγεδιηλ mt], εγεδιηλ z. de cottoniano Grabius „uix legi potest. uidetur esse μετοδιηλ ut in alexandrino. το plane lego, sed με uix est legibile". addit Owenus „haec plane sunt ex secundis Grabii curis, lineis tamen transuersis expuncta" | 11 ζαφωει Aa, ζαφωειν D [GR] Emt, ζοφοειμ z | 12 κατοικησεως Ez, κτισεως t

οντος Ἠσαῦ πατὴρ Ἐδώμ. 1 κατῴκει δὲ Ἰακὼβ ἐν τῇ γῇ, 37
οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ, ἐν γῇ Χαναάν· 2 αὗται δὲ αἱ
γενέσεις Ἰακώβ. Ἰωσὴφ δὲ δέκα καὶ ἑπτὰ ἐτῶν ἦν, ποι-
μαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀδελφῶν
αὐτοῦ, ὢν νέος μετὰ τῶν υἱῶν Βαλλᾶς καὶ μετὰ τῶν υἱῶν
Ζελφᾶς τῶν γυναικῶν τοῦ πατρὸς αὐτοῦ· κατήνεγκαν δὲ
Ἰωσὴφ ψόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν.
3 Ἰακὼβ δὲ ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς
αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ· ἐποίησε δὲ αὐτῷ χιτῶνα
ποικίλον. 4 ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ ὅτι αὐτὸν ὁ πατὴρ
φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτόν, καὶ οὐκ
ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν. 5 ἐνυπνιασθεὶς δὲ
Ἰωσὴφ ἐνύπνιον ἀπήγγειλεν αὐτὸ τοῖς ἀδελφοῖς αὐτοῦ, 6 καὶ

1 *αυτος* mt. de capitis initio uide ad 3 | 1 *κατωικησε* mt² [*ι* > t²], *κατωκησεν* t¹ | 2 ante *ο* + *ισαακ* a | 2 *ο πατηρ αυτου* > E | 2 *δε* > D [GR] c | 3 caput *λζ* uoce *ιωσηφ* exordiuntur abcz | 3 *δε* > AEcmtz | 3 *δεκα και επτα* Eab, *δεκα επτα* AD [GR] cmt, *ιζ* z | 3/4 *ποιμενων* z | 4 *τα προβατα του πατρος αυτου* > AEz, post *αυτου* 5 D [GR] cmt | 5 post *αυτου* + *τα προβατα* AEz | 5 *νεως* z | 5 post *νεως* suum + *μετα των υιων λιας* z | 5 *και* > z | 5 *βαλας* z | 6 *ν* alterum uocis *γυναικων* in rasura A | 6/7 „Symmachus *και εφερεν ιωσηφ διαβολην κατ αυτων πονηραν προς πατερα αυτων*. Aquila *και ηνεγκεν ιωσηφ τον ψογον αυτων πονηρον προς τον πατερα αυτου*. Diodorus *ο συρος και ο εβραιος αντι του κατηνεγκαν κατηνεγκεν εχουσι. τουτ εστιν ο ιωσηφ διεβαλε τους αδελφους τω πατρι ως ουκ ευτακτους οντας, οθεν και εμισηθη παρ αυτων*. Cyrillus alexandrinus *οι απο ζελφας τε και βαλλας ψογον πονηρον κατηγαγον επι τον ιωσηφ*“ b. in margine m *οι ο Κατηνεγκε δε ιωσηφ ψογον αυτων πονηρον προς πατερα αυτων. συμμαχος Και εφερεν ιωσηφ διαβολην πονηραν κατ αυτων προς πατερα αυτων. ακυλας Και ηνεγκεν ιωσηφ ψογον αυτων πονηρον προς πατερα αυτου. θεοδοτιων Κατηνεγκαν δε ψογον πονηρον ιωσηφ προς τον πατερα αυτων*. eodem loco etiam quae e Diodoro b adfert | 6 *κατηνεγκε* cz | 6 post *δε* + *κατα* a | 7 *ψογον πονηρον ιωσηφ* z | 7 *αυτου* cz | 8 *ιακωβ*] *ισραηλ* D [GR] | 8 *ηγαπα*] *ηγα* A | 8 *υιους*] *αδελφους* D [GR] E | 9 *γηρους* AD [GR] Ecmt | 9 *εποιησεν* AEmt¹ | 10 *ποικιλον*] „Aquila *αστραγαλειον*“ b | 10 *ειδοντες* A | 10 *δε* > z | 10 post *δε* + *αυτον* D [GR] | 10/11 *αυτον ο πατηρ φιλει* Eabt, *αυτον εφιλει ο πατηρ αυτου* A, *αυτον φιλει ο πατηρ* c, *αυτον ο πατηρ αυτου φιλει* m, *φιλει αυτον ο πατηρ* z | 11 *εμεισησαν* D [GR] | 11 post *αυτον* + *οι αδελφοι αυτου* D [GR] c, + *οι αδελφοι* z | 12 *εδυναντο* Az | 12 *ουθεν* D [GR] | 13 *απηγγειλε* amt² | 13 *αυτο* > D [GR] amt, *αυτω* E¹

εἶπεν αὐτοῖς Ἀκούσατε τοῦ ἐνυπνίου τούτου οὗ ἐνυπνιάσθην. [7] ᾤμην ὑμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ· καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ὠρθώθη· περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν προσεκύνησαν τὸ ἐμὸν δράγμα. [8] εἶπαν δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ Μὴ βασιλεύων βασιλεύσεις ἐφ' ἡμᾶς ἢ κυριεύων κυριεύσεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ. [9] εἶδε δὲ ἐνύπνιον ἕτερον, καὶ διηγήσατο αὐτὸ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν Ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον ἕτερον· ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με. [10] καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ εἶπεν αὐτῷ Τί τὸ ἐνύπνιον τοῦτο, ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν; [11] ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτοῦ διετήρησε τὸ ῥῆμα. [12] ἐπορεύθησαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ βόσκειν τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν εἰς Συχέμ. [13] καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσὴφ Οὐχὶ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. εἶπε δὲ αὐτῷ Ἰδοὺ ἐγώ. [14] εἶπε δὲ αὐτῷ Ἰσραὴλ Πορευθεὶς ἴδε εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρών· καὶ

1 *τουτου* > z | 1 *ηνυπνιασθην* D [GR], *ενυπνιασαμην* cz | 2 *ημας* m | 2 *δραχματα* AD [GR] E | 2 *εμμεσω* A, *εν* sine *μεσω* D [GR] | 2 *του πεδιου* Ez | 2 *παιδιω* A, *παιδιωι* m [Crusius non defuit!] | 3 *δραχμα* AD [GR] E | 3 *ανορθωθη* z | 3 *δε* > z | 4 *δραγχματα* A, si primo Baberi uolumini fides, nam in quarto *δραχματα* profert. *δραχματα* E | 4 *δραγχμα* A, si primo Baberi uolumini fides, nam in quarto *δραχμα* profert. *δραιμα* E | 4 *ειπον* cz | 5 *αυτω* > t | 5 *αυτου* > Az | 5 *βασιλευων* > z | 5 *βασιλευσης* cmt | 6 *κυριευεις* E, *κυριευσης* cmt | 7 *ρηματων*] *λογων* E | 8 *ιδεν* AE, *ειπε* a, *ειδεν* ct[1] | 8 post *δε* + *και* z | 8 *αυτο* > Eat, *αυτῶ* z | 10 *ενυπνιασθην* Amt | 11 ante *ενδεκα* + *οι* m [non t] | 11 *επετειμησεν* A | 12 *αυτω* > A | 12/13 *ενυπνιασθεις* z[1], *η* prima manu super uersum | 13 *ελευσωμεθα* z | 15 *αυτου* alterum > z | 16 *διετηρησεν* At[1], *διετηρει* E | 17 *εις*] *εν* z | 18 *ουχ* AD [GR] Ect | 18/19 *προσμενουσιν* z | 19 *εις* Eabcmt, *εν* Az | 19 *αποστελω* mtz | 19 *ειπεν* AEt[1] | 20 *αυτω* prius] *ιωσηφ* z | 20 *ειπεν* AEmt[1] | 20 *αυτω* alterum > mt | 20/21 „schol *την ειρηνην των αδελφων σου και την ειρηνην των βοσκηματων*" b | 21 *και* alterum > z, *ει* A | 21 *απαγγειλον* D [GR] cz | 22 *κιλαδος* ut uidetur m, nunc *οι* colore

ἦλθεν εἰς Συχέμ. [15] καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ· ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος λέγων Τί ζητεῖς; [16] ὁ δὲ εἶπε Τοὺς ἀδελφούς μου ζητῶ· ἀπάγγειλόν μοι ποῦ βόσκουσιν. [17] εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος Ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων Πορευθῶμεν εἰς Δωθαείμ. καὶ ἐπορεύθη Ἰωσὴφ κατόπισθε τῶν ἀδελφῶν αὐτοῦ, καὶ εὗρεν αὐτοὺς ἐν Δωθαείμ. [18] προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτὸν πρὸς αὐτούς· καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν. [19] εἶπε δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· [20] νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων, καὶ ἐροῦμεν Θηρίον πονηρὸν κατέφαγεν αὐτόν, καὶ ὀψόμεθα τί ἔσται τὰ ἐνύπνια αὐτοῦ. [21] ἀκούσας δὲ Ῥουβὴν ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ εἶπεν Οὐ πατάξωμεν αὐτὸν εἰς ψυχήν. [22] εἶπε δὲ αὐτοῖς Ῥουβὴν Μὴ ἐκχέητε αἷμα· ἐμβάλλετε αὐτὸν εἰς ἕνα τῶν λάκκων τούτων τῶν ἐν τῇ ἐρήμῳ,

graeco [non atramento tenui tubingensis ueteratoris] super literam *ι* scriptum | 22 *της* alterum > z | 22 *χευρων* z

1 *πλανομενον* E [1] z | 2 *παιδιω* AE [1] | 2 *ηρωτησεν* AE, *και ηρωτησεν* mt | 2 *δε* > mt | 2 *λεγων* > c | 3 *ειπεν* ADEmt [1] | 3 *αναγγειλον* D [GR: superest *αναγγειλο*] cz | 4 *ειπεν* ADEt [1] | 4 *ο* > a | 5 *δοθαειμ* a, *δοθαημ* z | 6 > E | 6 *κατοπισθεν* Ac, *οπισθεν* mt | 6/7 *φων αυτου και ευρεν* in A „est correctio librarii, qui primo scripsisse uidetur *αδελφων αυτου εις κτλ*, sed, cum errorem suum animaduertisset, *φων αυτου* literis minimis ad finem lineae praecedentis addidit et, derasis literis *φω* in initio lineae sequentis, margini interiori coniunctionem *και* adscripsit et postea super spatio raso *ευρεν* rescripsit“ | 7 *ευρεν αυτους εν δωθαειμ* > E | 7 *αυτους*] *αυτου* A | 7 *εν* abcz, *εις* AD [GR] mt | 7 *δοθαημ* z | 7/9 quae inter *προειδον* 7 et *αυτον* 9 media, > z | 7 *προιδον* A [D = b] | 7 *δε αυτων* E | 8 *αυτον* > D [GR] Eamt | 8 *επονηρευοντο* DEabc, *επορευοντο* A, *επονηρευσαντο* mt et b in margine! ubi „schol *εδολιευσαντο*“ | 8 *του* alterum > A | 9 *ειπαν* AD [GR] Emt, *ειπον* z | 9 *αδελφων* z, *πλησιον* mt | 10 *ενυπνιασθεις* cz | 10 *δευτε* > m [non t] | 11 init *αυτων* t | 11 *ριψομεν* A [DE = b] z | 12 *εφαγεν* t | 13 *εσται* DEabcmtz, *εστιν* A | 13 *ρουβημ* a, *ρουβιμ* mtz | 13 *εξειλατο* ADEz | 14 init *αυτων εκ* t | 14 *παταξομεν* AD [GR] Eatz | 15 *ειπε δε αυτοις ρουβην* > z | 15 *ειπεν* AEt [1] | 15 *ρουβημ* a, *ρουβιμ* mt | 15 *εκχεηται* A, *εκχεεται* z | 15/16 *εμβαλετε* AEcmt, *εμβαλατε* D ut uidetur [*εμβαλλατε* Grabii error typographicus uideatur]. *εμβαλατε* z | 16 ante *αυτον* + *δε* Ac | 16 *ενα* > Eamtz, habet D | 16 *τον λακκον τουτον τον* Eamtz. D = b | 16 *τουτων* > A

χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ· ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ. 23 ἐγένετο δέ, ἡνίκα ἦλθεν Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐξέδυσαν Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτόν, 24 καὶ λαβόντες αὐτὸν ἔρριψαν εἰς τὸν λάκκον· ὁ δὲ λάκκος κενός, ὕδωρ οὐκ εἶχε[ν]. 25 ἐκάθισαν δὲ φαγεῖν ἄρτον· καὶ ἀναβλέψαντες τοῖς ὀφθαλμοῖς εἶδον, καὶ ἰδοὺ ὁδοιπόροι Ἰσμαηλῖται ἤρχοντο ἐκ Γαλαάδ, καὶ αἱ κάμηλοι αὐτῶν ἔγεμον θυμιαμάτων καὶ ῥητίνης καὶ στακτῆς· ἐπορεύοντο δὲ καταγαγεῖν εἰς Αἴγυπτον. 26 εἶπε δὲ Ἰούδας πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ; 27 δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις· αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ᾽ αὐτόν, ὅτι ἀδελφὸς ἡμῶν καὶ σὰρξ ἡμῶν ἐστίν. ἤκουσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ, 28 καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιηναῖοι ἔμποροι, καὶ ἐξείλκυσαν καὶ ἀνεβίβασαν τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου· καὶ ἀπέδοντο τὸν Ἰωσὴφ τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν· καὶ κατήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον. 29 ἀνέστρεψε δὲ Ῥουβὴν ἐπὶ τὸν λάκκον, καὶ οὐχ ὁρᾷ τὸν Ἰωσὴφ ἐν τῷ λάκκῳ· καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ. 30 καὶ ἐπέ-

1 *ενεγκετε* z | 1 ante *οπως* + *εζητει γαρ* a [non y] | 1 *εξεληтε* D, *εξελειται* Em | 2 *πατρι αυτων* z | 2/3 *εγενετο δε* > z | 3 post *ηνικα* + *δε* z | 4 ante *ιωσηφ* + *τον* AEamt | 4 *χιτονα* E | 4 post *χιτωνα* + *αυτου* D | 4 *αυτω* z | 5 post *ερριψαν* + *αυτον* a [D = b] | 5 *κενος* DEabcmt, *εκεινος* Az | 6 *ειχε* ab | 6 *εκαθεισαν* A, *εκαθησαν* a | 7 *ιδον* ADE | 7 *ισμαηλειται* A, *ισμαιληται* m | 8 ante *ηρχοντο* + *εμποροι* z | 8 post *εκ* + *γης* a | 8 *αι* DEabctz, *οι* A, *αι* m prima manu in rasura | 8/9 *θυμιαματων*] „Aquila *στυρακος*" b | 9 *και* prius > z | 9 *ριτινης* AEz, *ρυτηνης* c. manu recenti super uersum t *κηριν* | 9 *στακτη* E. manu recenti super uersum t *πιαγαριν* | 9 *καταγειν* Ec | 10 *ειπεν* AEt^1 | 10/11 „Aquila *τί πλεονεκτημα;* alii interpretes *τί κερδος;*" b. *ο ακυλας το τι χρησιμον τί πλεονεκτημα εκδεδωκεν, οι λοιποι τί κερδος* m | 11 *αποκτεινομεν* t | 11 *αδελφων* E^{1}t | 11 *κρυψομεν* z | 12 *αποδωμεν* z | 13 *επι τουτον* m | 14 *ημων* prius > Dc | 14 *οι αδελφοι* > D, post *αυτου* 15 periit | 15 *οι ανθρωποι* > E | 15 *μαδιναιοι* cmtz. „schol *ισμαηλιται*" b, *ισμαηλιται* habet in textu E | 16 ante *εμποροι* + *οι* AD [GR] cmt | 16 *εμποροι* > E | 16 *ανεβηβασαν* t, *ανεβιβισαν* z | 17 *τον ιωσηφ*] *αυτον* a | 17 *κ̄* z | 18/19 *ανεστρεψεν* AE, ex D superest *εν* | 19 *ρουβημ* a, *ρουβιμ* mtz | 19 *εν τω λακκω* z | 19 *ορα*] *ευρε* c. D = b | 19 *τον ιωσηφ*] *αυτον* z. D = b | 20 *διερρηξεν* ADE,

*στρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ καὶ εἶπε Τὸ παιδάριον
οὐκ ἔστιν· ἐγὼ δὲ ποῦ πορεύομαι ἔτι; 31 λαβόντες δὲ τὸν
χιτῶνα τοῦ Ἰωσὴφ ἔσφαξαν ἔριφον αἰγῶν, καὶ ἐμόλυναν τὸν
χιτῶνα τῷ αἵματι. 32 καὶ ἀπέστειλαν τὸν χιτῶνα τὸν ποικί-
λον καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν καὶ εἶπαν Τοῦτον εὕρο-
μεν, ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σου ἐστὶν ἢ οὔ. 33 καὶ
ἐπέγνω αὐτὸν καὶ εἶπε Χιτὼν τοῦ υἱοῦ μου ἐστί· θηρίον
πονηρὸν κατέφαγεν αὐτόν, θηρίον ἥρπασε τὸν Ἰωσήφ. 34 διέρ-
ρηξε δὲ Ἰακὼβ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν
ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς.
35 συνήχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες,
καὶ ἦλθον παρακαλέσαι αὐτόν· καὶ οὐκ ἤθελε παρακαλεῖσθαι,
λέγων ὅτι Καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου.
καὶ ἔκλαυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. 36 οἱ δὲ Μαδιηναῖοι
ἀπέδοντο τὸν Ἰωσὴφ εἰς Αἴγυπτον τῷ Πετεφρῆ τῷ σπάδοντι
Φαραὼ ἀρχιμαγείρῳ. 1 ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ κατέβη* 38
*Ἰούδας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἀφίκετο ἕως πρὸς
ἄνθρωπόν τινα Ὀδολλαμίτην, ᾧ ὄνομα Εἰράς. 2 καὶ εἶδεν ἐκεῖ
Ἰούδας θυγατέρα ἀνθρώπου Χαναναίου, ᾗ ὄνομα Σαυά· καὶ*

διερριξε t | 20/1 *ανεστρεψεν* AEt[1], *υπεστρεψεν* D [GB], *ανεστρεψε* mt[2], *απεστρεψε* z

1 *αυτου* > t | 1 *ειπεν* AEcmt | 2 „a uerbis *ουκ εστιν* omnia desunt usque 38, 5" D | 2 *εστι* z | 2 post *εστιν* + *εν τω* [*τῳ* c] *λακκω* Ecm, + *εν τωι λακκωι* t | 2 *πεπορευμαι* E, *πορευσομαι* cmtz | 3 *του* > z, *τω* E | 3 *αιριφον* A | 4 ante *τῳ* + *εν* z | 4 *τῳ αιματι* > c | 4 *τῳ* > A | 4/5 *και απεστειλαν τον χιτωνα τον ποικιλον* > E, *και απεστειλαν τον χιτωνα* > c | 5 *εισηνεγκε* z | 5 *αυτου* cz | 5 *ειπον* Ec, *ειπε* z | 5/6 *ευρωμεν* z | 6 *ει*] *η* E | 7 *ειπεν* AEcmt[1] | 7 *εστιν* AEmt[1] | 7 post *θηριον* + *το* a | 8 post *θηριον* + *πονηρον* m [non t] z | 8 *ηρπασεν* AEt[1] | 8/9 *διερρηξεν* AEt[1] | 9 *επεθηκε* z | 10 *επενθη* E | 10 *υιον αυτου*] *ιωσηφ* z | 10 *ημερρας* z | 10 *πολλας* Eabcmtz, *τινας* A | 11 post *θυγατερες* + *αυτου* Ea | 12 *ηθελεν* AEt[1] | 12 post *ηθελε* nostrum *παρακληθηναι* mt | 13 *αδην* z | 14 *μαδηναιοι* E, *μαδιναιοι* cmt, *ισμαηλιται εμποροι* z | 15 *τον ιωσηφ* > m | 15 *τῳ* prius > Ec | 15 *πετρεφη* A, *πεντεφρη* a, *πεντεφρι* z | 15 *σπαροντι* E, *ἐπάδοντι* z. *τω σπαδον* suum m prima manu in rasura scriptum habet | 16 *αρχιμαγηρω* E, *αρχοντι μαγειρων* m [ubi *ει* prima manu in rasura] t, *τω αρχιμαγω* z, *αρχιμαχειρω* a | 17 *αφειχετο* A | 18 *τινα οδολλαμιτην* in rasura A e correctione recenti | 18 *οδολλαμειτην* si nescio quis ex A profert, fallitur. *οδολαμιτην* amt, *οδολλαβητην* z | 18 *ιρας* Ez | 18 *ιδεν* AE | 19 *θυγατεραν* z | 19 *χαναναιου ανθρωπου* E | 19 *σαβα* az

ἔλαβεν αὐτὴν καὶ εἰσῆλθε πρὸς αὐτήν. [3]καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἤρ. [4]καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν ἔτι, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Αὐνάν. [5]καὶ προσθεῖσα ἔτεκεν υἱόν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σηλώμ· αὕτη δὲ ἦν ἐν Χασβί, ἡνίκα ἔτεκεν αὐτούς. [6]καὶ ἔλαβεν Ἰούδας γυναῖκα Ἢρ τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ. [7]ἐγένετο δὲ Ἢρ πρωτότοκος Ἰούδα πονηρὸς ἔναντι κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός. [8]εἶπε δὲ Ἰούδας τῷ Αὐνὰν Εἴσελθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου καὶ ἐπιγάμβρευσαι αὐτήν, καὶ ἀνάστησον σπέρμα τῷ ἀδελφῷ σου. [9]γνοὺς δὲ Αὐνὰν ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ἐγένετο, ὅταν εἰσήρχετο πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐξέχεεν ἐπὶ τὴν γῆν τοῦ μὴ δοῦναι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. [10]πονηρὸν δὲ ἐφάνη ἐναντίον τοῦ θεοῦ ὅτι ἐποίησε τοῦτο, καὶ ἐθανάτωσε καὶ τοῦτον. [11]εἶπε δὲ Ἰούδας Θάμαρ τῇ νύμφῃ αὐτοῦ Κάθου χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός σου ἕως μέγας γένηται Σηλὼμ ὁ υἱός μου· εἶπε γὰρ Μήποτε ἀποθάνῃ καὶ οὗτος ὥσπερ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. ἀπελθοῦσα δὲ Θάμαρ ἐκάθητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς. [12]ἐπληθύνθησαν δὲ αἱ ἡμέραι καὶ ἀπέθανε Σαυὰ ἡ γυνὴ Ἰούδα· καὶ παρα-

1 *εισηλθεν* AEct[1] | 2 *εκαλεσεν* AEt[1] | 3 *ετεκεν υιον ετι* ab, *ετι ετεκεν υιον* Acm, *ετεκεν υιον δευτερον* E, *ετεκεν υιον* t, *ετεκεν ετερον υιον* z | 3 *εκαλεσεν* AEt[1] | 3 *ανναν* a, *αυναυν* t | 4 post *προσθεισα* + *ετι* AEamt | 4 post *υιον* + *ετερον τριτον* a | 4 *εκαλεσεν* AEt[1] | 5 *σιλωμ* c, *σηλων* z | 5 *δε* > E | 5 *χασβη* z | 5 *ηνηκα* z | 6 *ιουδας* > E | 6 post *ηρ* + *τωι υιωι αυτου* t | 6 *αυτου* > t | 7 post *ηρ* + *ο* mtz | 7 *εναντιον* ADcmt | 8 *ειπεν* A [D ?] Et[1] | 8 *τω* etiam D, *προς* mt | 9 *ανναν* a | 9 *προς*] *εις* z | 9/10 *επιγαμβρευσαι* abcmt, *γαμβρευσαι* AE, *γαμβρευσον* D, *επιγαμβρευσον* z | 11 *αννὰν* a, *αυνα* t | 11 *αυτου* c | 11 *εγινετο* AEmt, *εγεινετο* D [GR: superest *ινετο*] | 12 *εισηλθε* c | 12 *αυτου* > m | 13 *μη* > m | 13/14 *πονηρος* z | 14 post *εφανη* + *το ρημα* Aa, + *τουτο* m [non t] | 14 *ενωπιον* z [non D] | 14 ante *του* + *κυριου* z | 14 *εποιησεν* AEt[1] | 15 *εθανατωσεν* ADE | 15 *ειπεν* ADEt[1] | 15 *την νυμφην* t | 16 post *αυτου* + *μετα το αποθανειν τους δυο υιους αυτου* D [GR: omnia supersunt praeter *υς αυτου*] a | 16 *ηρα* A[1], manus prima *χ* super uersum addidit | 17 *σιλων* c, *σηλων* z. D=b | 17 *ειπεν* AEt[1] | 17 post *γαρ* + *εν τῃ διανοιᾳ αυτου* a | 18 ante *ωσπερ* + *ως* m | 18 *και* > Aa | 19 *επλησθησαν* mt | 20 *απεθανεν* ADEt[1] | 20 *σαβα* z

κληθεὶς Ἰούδας ἀνέβη ἐπὶ τοὺς κείροντας τὰ πρόβατα αὐτοῦ, αὐτὸς καὶ Εἱρὰς ὁ ποιμὴν αὐτοῦ ὁ Ὀδολλαμίτης, εἰς Θαμνά. [13] καὶ ἀπηγγέλη Θάμαρ τῇ νύμφῃ αὐτοῦ λέγοντες Ἰδοὺ ὁ πενθερός σου ἀναβαίνει εἰς Θαμνὰ κεῖραι τὰ πρόβατα αὐτοῦ. [14] καὶ περιελομένη τὰ ἱμάτια τῆς χηρεύσεως ἀφ᾽ ἑαυτῆς περιέβαλε τὸ θέριστρον καὶ ἐκαλλωπίσατο, καὶ ἐκάθισε πρὸς ταῖς πύλαις Αἰνάν, ἥ ἐστιν ἐν παρόδῳ Θαμνά· [ε]ἶδε γὰρ ὅτι μέγας γέγονε Σηλώμ, αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα. [15] καὶ ἰδὼν αὐτὴν Ἰούδας ἔδοξεν αὐτὴν πόρνην εἶναι· κατεκαλύψατο γὰρ τὸ πρόσωπον αὐτῆς, καὶ οὐκ ἐπέγνω αὐτήν. [16] ἐξέκλινε δὲ πρὸς αὐτὴν τὴν ὁδὸν καὶ εἶπεν αὐτῇ Ἔασόν με εἰσελθεῖν πρὸς σέ· οὐ γὰρ ἔγνω ὅτι νύμφη αὐτοῦ ἐστίν. ἡ δὲ εἶπε Τί μοι δώσεις, ἐὰν εἰσέλθῃς πρὸς μέ; [17] ὁ δὲ εἶπεν Ἐγώ σοι ἀποστελῶ ἔριφον αἰγῶν ἐκ τῶν προβάτων μου. ἡ δὲ εἶπεν Ἐὰν δῷς μοι ἀρραβῶνα ἕως τοῦ ἀποστεῖλαί σε. [18] ὁ δὲ εἶπε Τίνα τὸν ἀρραβῶνά σοι δώσω; ἡ δὲ εἶπε Τὸν δακτύλιόν σου καὶ τὸν ὁρμίσκον καὶ τὴν ῥάβδον

1 *ιουδα* A[1], *σ* super uersum manu prima | 1 *επι*] *προς* Emt | 1 *κιροντας* E, *κηροντας* mtz[1] | 2 *αυτος* > mt | 2 post *και* + *κατεβη* amt | 2 *ιρας* E, *ηρας* cz | 2 *οδολλαμειτης* A, *οθολλαμιτης* E, *οδολαμιτης* amt, *οδολλατης* z | 2 *θαιμνα* A, *θαμναι* z | 2 post *θαμνα* + *μετ αυτου* amt | 3 *απηγγελλη* tz | 4 *ανεβη* AEcmt | 4 *κηραι* m | 4 post *αυτου* + *αυτος και ειρας ο ποιμην αυτου* mtz [nisi quod *ηρας* m[1]z] | 5 post *χηρευσεως* + *αυτης* mtz | 5 *αφ εαυτης* > z | 6 *περιεβαλετο θεριστρω* A, *περιεβαλλετο θεριστρον* z, *περιεβαλετο το θεριστρον* E | 6 *περιεβαλεν* t[1] | 6 *θεριστρον*] „schol *σπαθαρισκον*“ b | 6 *εκαλλοπισατο* Etz | 6 *και εκαθισε* > c | 6 *εκαθεισαν* A, *εκαθισεν* Et[1]z | 7 *τας πυλας* c | 7 *εναν* cz | 7 *εστι* t[2] | 7 *εν* > t [habet m] | 7 *θαμναν* c | 7 *ιδεν* A, *ειδεν* D [GR] t[1], *ιδε* Eab, *ειδε* cmt[2]z | 8 *γεγονεν* AEmt, *εγενετο* c | 8 *σιλωμ* c, *ο σηλωμ* mt, *σηλων* z | 8 post *σηλωμ* + *ο υιος αυτου* Amt | 8 fin *εαυτω* z | 10 *κατεκαλυψε* z | 10 *εαυτης* D [GR] | 11 *εξεκλεινεν* A, *εξεκλινεν* Et. hebraica emendauit Lagarde anmerkungen zur griechischen übersetzung der proverbien in initio praefationis | 12 *ελθειν* z | 12 *σε*] *με* A | 12 *ου γαρ εγνω*] *και ουκ επεγνω* E | 12 ante *νυμφη* + *η* AD [GR] amtz | 13 *ειπεν* AEt[1] | 13 *δωσεις μοι* D [GR] | 13 *δωσις* E | 13 *ο δε*] *και* cz | 14 *αποστελλω* AD [GR] Ea | 14 *αιριφον* A | 14 *αιγων* > z | 14 *των* > m [non t] | 15 *μου* > Amtz | 15 *μοι* > AD [GR] Eamtz | 15 *αρραβων* E | 16 *σε*] *σοι* z | 16 *ειπεν* AEct[1] | 16 *αραβωνα* z[1] | 16 *δω* D [GR] a, *δοσω* Ez | 16 *η δε*] *και* z | 17 *ειπεν* AEt[1] | 17 „Aquila *την σφραγιδα σου και στρεπτον σου* [Lagarde gesammelte abhandlungen 40, 15 beiträge zur baktrischen lexikographie 47, 14]. schol *αλλως φησιν τον ορμι-*

τὴν ἐν τῇ χειρί σου. καὶ ἔδωκεν αὐτῇ, καὶ εἰσῆλθε πρὸς αὐτήν· καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ. [19] *καὶ ἀναστᾶσα ἀπῆλθε, καὶ περιείλετο τὸ θέριστρον αὐτῆς ἀφ' ἑαυτῆς, καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς.* [20] *ἀπέστειλε δὲ Ἰούδας τὸν ἔριφον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ ποιμένος αὐτοῦ τοῦ Ὀδολλαμίτου, κομίσασθαι παρὰ τῆς γυναικὸς τὸν ἀρραβῶνα· καὶ οὐχ εὗρεν αὐτήν.* [21] *ἐπηρώτησε δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου Ποῦ ἔστιν ἡ πόρνη ἡ γενομένη ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπαν Οὐκ ἦν ἐνταῦθα πόρνη.* [22] *καὶ ἀπεστράφη πρὸς Ἰούδαν καὶ εἶπεν Οὐχ εὗρον, καὶ οἱ ἄνθρωποι οἱ ἐκ τοῦ τόπου λέγουσι μὴ εἶναι ὧδε πόρνην.* [23] *εἶπε δε Ἰούδας Ἐχέτω αὐτά, ἀλλὰ μήποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας.* [24] *ἐγένετο δὲ μετὰ τρίμηνον ἀνηγγέλη τῷ Ἰούδᾳ λέγοντες Ἐκπεπόρνευκε Θάμαρ ἡ νύμφη σου, καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας.*

σκον ωραριον [Casaubonus et Salmasius ad scriptt histor augustae II 135, 12 editionis Eyssenhardtianae: uide Codinum]. *ο δε αγιος Κυριλλος κοσμηματι τω περι την δερριν εθει χαλδαικω κοσμουμενω τω ιουδα. χρυσω γαρ ουτοι και χειρας και δερριν καταλαμπρυνουσι και αυτην την τριχα στεφανουσιν εσθ οτε*" b | 17 *αρμισκον* c | 17 *ραβδον*] „Symmachus *εγχειριδιον*" b

1 *αυτῇ*] *αυτην* a | 1 *εισηλθεν* AEt¹ | 2 *εγ γαστρι* A | 2 *αναστας* A¹, [*α* super uersum manu uel prima uel certe perantiqua quadam additum] E | 3 *απηλθεν* AEt¹ | 3 *περιειλατο* D [GR] Ez, *περιεβαλετο* A, *περιεῖλε* mt | 3 *θεριστον* z | 3 *αυτης* > AEamtz | 4 *χειρευσεως* E | 4 *αυτης αφ εαυτης* A, *αφ εαυτης* omisso *αυτης* E | 4 *απεστειλεν* ADEt¹ | 5 *τον*] *την* z | 5 *αιριφον* A | 5 *εξ*] *εκ των* D [GR], *των* z | 5 *ποιμαινος* Am | 5 *του* alterum > a | 6 *οδολλαμειτου* A [D = b], *οδολλαμητου* E, *οδολομιτου* a, *οδολαμιτου* mt | 6 *κωμησασθαι* E | 6 *τον αρραβωνα παρα της γυναικος* ADEcm [nisi quod *αραβωνα* m¹] tz | 7 *επηρωτησεν* ADEt¹ | 7 *εκ*] *επι* A | 8 ante *που* + *και ειπεν αυτοις* D [GR: superest *και ει ις*] a | 8 *η πορνη*] „Aquila *η ενδιηλλαγμενη*" b | 8 *εναν* c | 9 *ειπον* z | 9 *ην*] *ηλθεν* z | 9 *επεστραφη* D [GR] | 10 *ανθρωποι*] *ανδρες* mtz | 10 *οι* alterum > t [non m] | 10 *εκ* > a | 11 *του* > c | 11 *λεγουσιν* AEtz | 11 „Aquila *ουκ ην εν τουτω διηλλαγμενη*" b | 11 *ωδε*] *ενταυθα* AE | 11 *ειπεν* AEt | 12 *με* uocis *καταγελασθωμεν* manu prima in rasura A. „Aquila et Symmachus *γενωμεθα εις εξουδενωσιν*" b | 12 post *μεν* + *γαρ* Ez | 13 *αιριφον* A | 13 *ευρικας* Et, *ευρες* z | 13 *δε* alterum > c, *γαρ* z | 14 *απηγγελη* Acm, *απηγγελλη* t, *λεγουσι* z | 14 *του ιουδα* E | 14 *τω* > D [GR] | 14 *λεγοντες* > z | 14 post *λεγοντες* + *οτι* a | 14 *εκπεπορνευκεν* AEt¹ | 15 *εγ γαστρι* A | 15 *πορνιας* E

εἶπε δὲ Ἰούδας Ἐξαγάγετε αὐτὴν καὶ κατακαυθήτω. [25] αὐτὴ
δὲ ἀγομένη ἀπέστειλε πρὸς τὸν πενθερὸν αὐτῆς λέγουσα Ἐκ
τοῦ ἀνθρώπου, οὗτινος ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω· καὶ
εἶπεν Ἐπίγνωθι τίνος ὁ δακτύλιος καὶ ὁ ὁρμίσκος καὶ ἡ
ῥάβδος αὕτη. [26] ἐπέγνω δὲ Ἰούδας καὶ εἶπε Δεδικαίωται
Θάμαρ ἢ ἐγώ, οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ
μου· καὶ οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν. [27] ἐγένετο δέ,
ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς. [28] ἐγέ-
νετο δὲ ἐν τῷ τίκτειν αὐτὴν ὁ εἷς προεξήνεγκε τὴν χεῖρα·
λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον
λέγουσα Οὗτος ἐξελεύσεται πρότερος. [29] ὡς δὲ ἐπισυνήγαγε
τὴν χεῖρα, καὶ εὐθὺς ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ. ἡ δὲ εἶπε
Τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ
Φαρές. [30] καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ' ᾧ
ἦν ἐπὶ τῇ χειρὶ αὐτοῦ τὸ κόκκινον· καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτοῦ Ζαρά. [1] Ἰωσὴφ δὲ κατήχθη εἰς Αἴγυπτον· καὶ ἐκτή- 39
σατο αὐτὸν Πετεφρῆς ὁ εὐνοῦχος Φαραὼ ὁ ἀρχιμάγειρος,

1 ειπεν AEt¹ | 1 κατακαμφθητω z | 1/2 αυτης δε αγομενης c | 2 απαγομενη D [GR] | 2 απεστειλεν AEt¹ | 2 πενθερον] „schol κυριον" b | 3 ουτινος] τινος AD [GR] Eacz | 3 εγω] ἃ εχω z | 3 εγγαστρι At | 3 εχω > z | 4 επιγνωθη E. utrumque ι uocis t in rasura | 5 ειπεν AEt¹ | 6 θαμαρ] ἀυτὴ z | 6 ειvεκεν AD [GR] Ecmtz | 6 ου δεδωκα z | 6 σιλων c | 7 ου > A, super uersum + „corrector antiquus" | 7 προσεθετω E | 8 ετικτεν DEt¹, ετεκεν Ac | 8 διδημα z | 8 γαστρι DEabcmtz, κοιλια A | 8/9 εγενετο δε] και z | 9 προεξηνεγκεν ADE, προεξηγαγε t [non m] | 9 post χειρα + αυτου Ecmtz | 10 εδεισεν m | 10 κοκκινον επι την χειρα αυτου E | 10 ante κοκκινον + το mt | 11 πρωτος mtz | 11 επισυνηγαγεν ADE, επεισηγαγε t [non m], επησυνηγαγε z | 12 και > D | 12 ευθεως c | 12 ειπεν ADEt¹ | 13 „schol ο συρος και ο εβραιος· τί διεκοπη επι σε διακοπη; Aquila τί διεκοψας επι σε διακοπην; aliud schol αλλως· τί διηπλωσας καθ' ημων απλωμα;" b. ultima etiam m | 13 διακοπτει z | 13 εκαλεσεν ADEt¹ | 14 εξηλθε z, qui + και ante ὁ | 14 τουτο A¹, sed „corrector quidam uetustus" ν „minusculum inter lineas inseruit". τουτον Ea, ταυτα m [non t] | 14 ᾧ] ὃν mt, ὧν z | 15 ην το κοκκινον επι της χειρος αυτου z | 15 επι] εν E | 15 την χειρα A | 15 εκαλεσεν ADEt¹ | 16 κατηνεχθη a | 16/17 εκτισατο z | 17 πεντεφρης a, πεντεφρις z | 17 ευνουχος φαραω ο > E, qui mox φαραω post αρχιμαγηρος suum ponit. sed Tischendorf [αρχιμαγηρος φαραω] et ante ανηρ 160, 1 ... edidit | 17 „schol ο μεν συρος μιᾳ προσηγοριᾳ τον τε σπαδοντα και τον πιστον ανδρα λεγει τοις δεσποταις [hincne Iesu dictum Matth 19, 12 explicandum?].

τὴν ἐν τῇ χειρί σου. καὶ ἔδωκεν αὐτῇ, καὶ εἰσῆλθε πρὸς αὐτήν· καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ. [19] καὶ ἀναστᾶσα ἀπῆλθε, καὶ περιείλετο τὸ θέριστρον αὐτῆς ἀφ' ἑαυτῆς, καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς. [20] ἀπέστειλε δὲ Ἰούδας τὸν ἔριφον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ ποιμένος αὐτοῦ τοῦ Ὀδολλαμίτου, κομίσασθαι παρὰ τῆς γυναικὸς τὸν ἀρραβῶνα· καὶ οὐχ εὗρεν αὐτήν. [21] ἐπηρώτησε δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου Ποῦ ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπαν Οὐκ ἦν ἐνταῦθα πόρνη. [22] καὶ ἀπεστράφη πρὸς Ἰούδαν καὶ εἶπεν Οὐχ εὗρον, καὶ οἱ ἄνθρωποι οἱ ἐκ τοῦ τόπου λέγουσι μὴ εἶναι ὧδε πόρνην. [23] εἶπε δε Ἰούδας Ἐχέτω αὐτά, ἀλλὰ μήποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας. [24] ἐγένετο δὲ μετὰ τρίμηνον ἀνηγγέλη τῷ Ἰούδᾳ λέγοντες Ἐκπεπόρνευκε Θάμαρ ἡ νύμφη σου, καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας.

σκον ωραριον [Casaubonus et Salmasius ad scriptt histor augustae II 135, 12 editionis Eyssenhardtianae: uide Codinum]. ο δε αγιος Κυριλλος κοσμηματι τῳ περι την δερριν εθει χαλδαικῳ κοσμουμενῳ τῳ ιουδᾳ. χρυσῳ γαρ ουτοι και χειρας και δερριν καταλαμπρυνουσι και αυτην την τριχα στεφανουσιν εσθ οτε" b | 17 αρμισκον c | 17 ραβδον] „Symmachus εγχειριδιον" b

1 αυτῇ] αυτην a | 1 εισηλθεν AEt[1] | 2 εγ γαστρι A | 2 αναστας A[1], [α super uersum manu uel prima uel certe perantiqua quadam additum] E | 3 απηλθεν AEt[1] | 3 περιειλατο D [GB] Ez, περιεβαλετο A, περιεῖλε mt | 3 θεριστον z | 3 αυτης > AEamtz | 4 χειρευσεως E | 4 αυτης αφ εαυτης A, αφ εαυτης omisso αυτης E | 4 απεστειλεν ADEt[1] | 5 τον] την z | 5 αιριφον A | 5 εξ] εκ των D [GB], των z | 5 ποιμαινος Am | 5 του alterum > a | 6 οδολλαμειτου A [D = b], οδολλαμητου E, οδολομιτου a, οδολαμιτου mt | 6 κωμησασθαι E | 6 τον αρραβωνα παρα της γυναικος ADEcm [nisi quod αραβωνα m[1]] tz | 7 επηρωτησεν ADEt[1] | 7 εκ] επι A | 8 ante που + και ειπεν αυτοις D [GB: superest και ει ις] a | 8 η πορνη] „Aquila η ενδιηλλαγμενη" b | 8 εναν c | 9 ειπον z | 9 ην] ηλθεν z | 9 επεστραφη D [GB] | 10 ανθρωποι] ανδρες mtz | 10 οι alterum > t [non m] | 10 εκ > a | 11 του > c | 11 λεγουσιν AEtz | 11 „Aquila ουκ ην εν τουτῳ διηλλαγμενη" b | 11 ωδε] ενταυθα AE | 11 ειπεν AEt | 12 με uocis καταγελασθωμεν manu prima in rasura A. „Aquila et Symmachus γενωμεθα εις εξουδενωσιν" b | 12 post μεν + γαρ Ez | 13 αιριφον A | 13 ευρικας Et, ευρες z | 13 δε alterum > c, γαρ z | 14 απηγγελη Acm, απηγγελλη t, λεγουσι z | 14 του ιουδα E | 14 τῳ > D [GB] | 14 λεγοντες > z | 14 post λεγοντες + οτι a | 14 εκπεπορνευκεν AEt[1] | 15 εγ γαστρι A | 15 πορνιας E

εἶπε δὲ Ἰούδας Ἐξαγάγετε αὐτὴν καὶ κατακαυθήτω. 25 αὐτὴ
δὲ ἀγομένη ἀπέστειλε πρὸς τὸν πενθερὸν αὐτῆς λέγουσα Ἐκ
τοῦ ἀνθρώπου, οὗτινος ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω· καὶ
εἶπεν Ἐπίγνωθι τίνος ὁ δακτύλιος καὶ ὁ ὁρμίσκος καὶ ἡ
ῥάβδος αὕτη. 26 ἐπέγνω δὲ Ἰούδας καὶ εἶπε Δεδικαίωται
Θάμαρ ἢ ἐγώ, οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ
μου· καὶ οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν. 27 ἐγένετο δέ,
ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς. 28 ἐγέ-
νετο δὲ ἐν τῷ τίκτειν αὐτὴν ὁ εἷς προεξήνεγκε τὴν χεῖρα·
λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπὶ τὴν χεῖρα αὐτοῦ κόκκινον
λέγουσα Οὗτος ἐξελεύσεται πρότερος. 29 ὡς δὲ ἐπισυνήγαγε
τὴν χεῖρα, καὶ εὐθὺς ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ. ἡ δὲ εἶπε
Τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ
Φαρές. 30 καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ' ᾧ
ἦν ἐπὶ τῇ χειρὶ αὐτοῦ τὸ κόκκινον· καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτοῦ Ζαρά. 1 Ἰωσὴφ δὲ κατήχθη εἰς Αἴγυπτον· καὶ ἐκτή- 39
σατο αὐτὸν Πετεφρῆς ὁ εὐνοῦχος Φαραὼ ὁ ἀρχιμάγειρος,

1 ειπεν AEt[1] | 1 κατακαμφθητω z | 1/2 αυτης δε αγομενης c | 2 απαγομενη D [GB] | 2 απεστειλεν AEt[1] | 2 πενθερον] „schol κυριον“ b | 3 ουτινος] τινος AD [GB] Eacz | 3 εγω] ἃ εχω z | 3 εγγαστρι At | 3 εχω > z | 4 επιγνωθη E. utrumque ι uocis t in rasura | 5 ειπεν AEt[1] | 6 θαμαρ] ἀυτὴ z | 6 ειvεκεν AD [GB] Ecmtz | 6 ου δεδωκα z | 6 σιλων c | 7 ου > A, super uersum + „corrector antiquus“ | 7 προσεθετω E | 8 ετικτεν DEt[1], ετεκεν Ac | 8 διδημα z | 8 γαστρι DEabcmtz, κοιλια A | 8/9 εγενετο δε] και z | 9 προεξηνεγκεν ADE, προεξηγαγε t [non m] | 9 post χειρα + αυτου Ecmtz | 10 εδεισεν m | 10 κοκκινον επι την χειρα αυτου E | 10 ante κοκκινον + το mt | 11 πρωτος mtz | 11 επισυνηγαγεν ADE, επεισηγαγε t [non m], επησυνηγαγε z | 12 και > D | 12 ευθεως c | 12 ειπεν ADEt[1] | 13 „schol ο συρος και ο εβραιος· τί διεκοπη επι σε διακοπη; Aquila τί διεκοψας επι σε διακοπην; aliud schol αλλως· τί διηπλωσας καθ' ημων απλωμα;“ b. ultima etiam m | 13 διακοπτει z | 13 εκαλεσεν ADEt[1] | 14 εξηλθε z, qui + και ante ὁ | 14 τουτο A[1], sed „corrector quidam uetustus“ ν „minusculum inter lineas inseruit“. τουτον Ea, ταυτα m [non t] | 14 ῳ] ὃν mt, ὧν z | 15 ην το κοκκινον επι της χειρος αυτου z | 15 επι] εν E | 15 την χειρα A | 15 εκαλεσεν ADEt[1] | 16 κατηνεχθη a | 16/17 εκτισατο z | 17 πεντεφρης a, πεντεφρις z | 17 ευνουχος φαραω ο > E, qui mox φαραω post αρχιμαγηρος suum ponit. sed Tischendorf [αρχιμαγηρος φαραω] et ante ανηρ 160, 1 ... edidit | 17 „schol ο μεν συρος μια προσηγορια τον τε σπαδοντα και τον πιστον ανδρα λεγει τοις δεσποταις [hincne Iesu dictum Matth 19, 12 explicandum?].

ἀνὴρ αἰγύπτιος, ἐκ χειρῶν τῶν Ἰσμαηλιτῶν, οἳ κατήγαγον αὐτὸν ἐκεῖ. 2 καὶ ἦν κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων· καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ κυρίῳ αὐτοῦ τῷ αἰγυπτίῳ. 3 ᾔδει δὲ ὁ κύριος αὐτοῦ ὅτι ὁ κύριος ἦν μετ' αὐτοῦ, καὶ ὅσα ἐὰν ποιῇ, κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ. 4 καὶ εὗρεν Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ καὶ εὐηρέστησεν αὐτῷ· καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ πάντα ὅσα ἦν αὐτῷ ἔδωκε διὰ χειρὸς Ἰωσήφ. 5 ἐγένετο δὲ μετὰ τὸ καταστῆναι αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ καὶ ἐπὶ πάντα, ὅσα ἦν αὐτῷ, καὶ ηὐλόγησε κύριος τὸν οἶκον τοῦ αἰγυπτίου διὰ Ἰωσήφ· καὶ ἐγενήθη εὐλογία κυρίου ἐν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ οἴκῳ καὶ ἐν τῷ ἀγρῷ αὐτοῦ. 6 καὶ ἐπέτρεψε πάντα ὅσα ἦν αὐτῷ εἰς χεῖρας Ἰωσήφ, καὶ οὐκ ᾔδει τῶν καθ' αὐτὸν οὐδὲν πλὴν τοῦ ἄρτου οὗ ἤσθιεν αὐτός. καὶ ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει σφόδρα. 7 καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ἰωσήφ,

ο δε εβραιος αληθως ευνουχον και τουτον απο της πιστεως, επειδη φιλει το των ευνουχων γενος μαλιστα πιστευεσθαι τα τιμιωτερα των κτηματων και αυτην την βασιλεων σωτηριαν" b | 17 *ο* alterum > D [GR] cmt | 17 *αρχιμαγηρος* E, *αρχιμαχειρος* a

1 *αιγυπτιων* z | 1 *χειρος* D [GR] cz | 1 *των* > AD [GR] Eacmtz | 1 *ισμαηλειτων* A, *ισμαηλ λεγων* E, *ισμαιλητων* m | 1 οἳ] ὃν a | 2/3 „Aquila *κατευθυνομενος*. Symmachus *ευοδουμενος*" b | 3 *τῳ* secundum > E | 3 *κυριω* in m *υριω* manu recentiori in rasura scriptum habet | 3 *αυτου* > AEmtz | 4 *ηδη* z | 4 *κυριος* prius in m *υριος* manu recentiori in rasura scriptum habet | 4 *ο* alterum > ADEcmtz | 4 *ην* > AD [GR] Emtz | 5 ante *και* + *εστι* mt², + *εστιν* t¹ | 5 *οσα*] *ο* z | 5 *εαν* Eabz, *αν* Acmt | 5 *ποιει* Emz | 5 *ευωδοι* c, *κατευοδοι* m, *ευοδει* z | 6 *χαριν ιωσηφ* c | 6 *ενωπιον* D | 6/7 *και ευηρεστησεν* [ut uidetur: superest *εστησεν αυ*] D, *ευηρεστει δε* Am, *ευηρεστη δε* E, *και ευηρεστει* a, *ευηρεστησε δε* ctz | 7 *της οικιας* Ez, *τον οικον* mt | 7 *αυτου* > z | 8 post *ην* + *εν* mt | 8 post *αυτῳ* + *επι του οικου αυτου* z | 8 *εδωκεν* AEt¹ | 9 *κατασταθηναι* AD [GR: superest *κατα*[illegible]*τα*] Ecmtz, *καταστησαι* a | 9 *τον οικον* z | 9 *και* > t | 10 *ηυλογησεν* AE: ex D superest *ευλογη*: *ευλογησεν* c, *ευλογησε* mtz | 10 *του* > z | 11 *ευλογεια* D | 11 ante *κυριου* + *παρα* z | 11 *εν* omisso *πασι* c, *επι πασιν* A | 12 *αυτῳ*] *αυτου* D | 12 *αυτου* > A [habet D] Emtz | 13 *επεστρεψεν* AE, *επεστρεψε* c | 13 post *εις* + *τας* z | 14 *καθ εαυτον* A, *κατ αυτον* DE, *καθ εαυτου* c | 14 *κατησθιεν* c | 15 *αυτος* > D | 15 *τῶι ἤιδει* t | 16 *επεβλεψεν* z sequentibus non mutatis

καὶ εἶπεν Κοιμήθητι μετ' ἐμοῦ. 8 ὁ δὲ οὐκ ἤθελεν, εἶπε δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ Εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ἔδωκεν εἰς τὰς χεῖράς μου, 9 καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐθὲν ἐμοῦ οὐδὲ ὑπεξῄρηται ἀπ' ἐμοῦ οὐδὲν πλὴν σοῦ διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι: καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ θεοῦ; 10 ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας: καὶ οὐχ ὑπήκουεν αὐτῇ καθεύδειν μετ' αὐτῆς τοῦ συγγενέσθαι αὐτῇ. 11 ἐγένετο δὲ τοιαύτη τις ἡμέρα, καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐθεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω. 12 καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων λέγουσα Κοιμήθητι μετ' ἐμοῦ. καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω. 13 καὶ ἐγένετο, ὡς εἶδεν ὅτι καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω, 14 καὶ ἐκάλεσε τοὺς ὄντας ἐν τῇ οἰκίᾳ καὶ

1 init ειπε ct[2]z | 1 ante κοιμηθητι + αυτῳ a | 1 ηθελησεν m [Dt = b], ειθελεν z | 1 fin ειπεν ADEt[1] | 2 τη γυναικι του κυριου αυτου] ἀυτῇ z | 2 τη γυναικι] η γυνη E | 2/3 ουδεν δι εμε z | 2/3 δι εμε > E | 3 ουθεν D, > c | 3 ante εν + των Eamt | 3 και] αλλα a | 3 εστιν Aabcmtz, ην E | 3 post εστιν + εν a | 3 αυτῳ] εν τωι οικω αυτου mt [οικωι t] | 4 δεδωκεν atz | 4 ουκ Ecz | 4 υπαρχει D [GB] ac | 5 ταυτη Dabcmtz, αυτου AE | 5 ουθεν εμου > c | 5 ουδεν mtz | 5 post ουθεν + εκτος a | 5 υπεξειρηται AE, υφεξηρηται D [GB], υπεξαιρεῖται c, υπεξηιρηται mt, υπηξηρηται z | 5 ουδεν απ εμου z | 5 ουδεν] ουθεν E | 6 δια το σε γυναικα αυτου ειναι > z | 6 και > a | 6 πως > E | 6/7 το ρημα > z | 7 τουτον E | 8 ελαλη m. in t ει in rasura manu recentiori | 8 τῳ > A | 8 ιοσηφ E[1] | 8 και > mt | 9 ex D superest πηκουσεν. υπηκουσεν Ecmtz | 9 αυτη prius] αυτης E | 9 καθευδευειν z | 9 μεθ εαυτης E | 9 αυτη alterum] αυτου z | 10 εγενηθη z | 10 τοιαυτη της ημερας z | 10 και > ADEaz | 11 ante ποιειν + του A [non D] | 11 ουδεις cmtz [D = b] | 11 των > Am | 12 και > z | 12 αυτον] αυτου t | 12 των ιματιων > E | 12 post ιματιων + αυτου A | 13 και] ο δε a | 13 καταλειπων AE | 13 αυτου > Ez | 13/14 εν ταις χερσιν αυτης > A [non D, nam superest της ante εφυγεν] | 14 εφυγεν ADEct[1] | 14/16 comma 13 > a | 14 και εγενετο] εγενετο δε z | 14 ιδεν D [GB] | 15 κατελειπεν AE, κατελιπεν Dt[1], κατελιπε mt[2]z | 15 εν ταις χερσιν αυτης εφυγε > t | 15 post αυτης + και ADEm | 15/16 εφυγε και εξηλθεν εξω > z | 15 εφυγεν A [D?] Ec | 16 και secundum > D [GB] z | 16 εκαλεσεν AEt[1] | 16 post οικιᾳ + ως ἴδεν οτι κατελιπε τα ιματια αυτου εν ταις χερσιν αυτης a

εἶπεν αὐτοῖς λέγουσα Ἴδετε, εἰσήγαγεν ἡμῖν παῖδα ἑβραῖον ἐμπαίζειν ἡμῖν· εἰσῆλθε πρός με λέγων Κοιμήθητι μετ' ἐμοῦ· καὶ ἐβόησα φωνῇ μεγάλῃ. 15 ἐν δὲ τῷ ἀκοῦσαι αὐτὸν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω. 16 καὶ καταλιμπάνει τὰ ἱμάτια παρ' ἑαυτῇ ἕως ἦλθεν ὁ κύριος εἰς τὸν οἶκον αὐτοῦ. 17 καὶ ἐλάλησεν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα λέγουσα Εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος, ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι, καὶ εἶπέ μοι Κοιμηθήσομαι μετὰ σοῦ. 18 ὡς δὲ ἤκουσεν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ' ἐμοὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω. 19 ἐγένετο δέ, ὡς ἤκουσεν ὁ κύριος αὐτοῦ τὰ ῥήματα τῆς γυναικὸς αὐτοῦ, ὅσα ἐλάλησε πρὸς αὐτὸν λέγουσα Οὕτως ἐποίησέ μοι ὁ παῖς σου, καὶ ἐθυμώθη ὀργῇ. 20 καὶ λαβὼν ὁ κύριος Ἰωσὴφ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, εἰς τὸν τόπον, ἐν ᾧ οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται ἐκεῖ ἐν τῷ ὀχυρώματι. 21 καὶ ἦν κύριος μετὰ Ἰωσὴφ καὶ κατέχεεν αὐτοῦ ἔλεος, καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος. 22 καὶ ἔδωκεν ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ἰωσὴφ καὶ πάντας τοὺς ἀπηγμένους, ὅσοι ἐν τῷ δεσμωτηρίῳ,

1 ειδετε AD | 2 εμπεζειν E | 2 εισηλθεν ADEt[1] | 2 λεγων > z | 2 κοιμηθησομαι μετα σου c, καθευδειν μετ εμου z | 4 καταλειπων AE | 5 εφυγεν ADEct[1] | 5/6 καταλειμπανει E, καταλειπει z | 6 post ιματια + αυτου E | 6 παρ αυτης z, αρ prima manu super uersum | 6 post κυριος + ιωσηφ D, + αυτου Ez | 6 εις τον οικον > mt | 8 εισηλθεν A [D?] Et[1] | 8/9 προς ημας > E | 9 εμπεξαι A [D = b], ἐμπαῖξε z | 9 ειπεν ADEt[1] | 9 μοι alterum > c | 9 κοιμηθητι μετ εμου A [D = b] | 9 κυμηθησομαι m | 10 φωνη E | 10 μου > t | 10/11 κατελειπεν AE, κατελ[ιπ]εν D, κατελιπε mt[2]z, κατελιπεν t[1] | 11 post εμοι + και ADEmtz | 11 εφυγεν ADEct[1] | 11 εξω > c | 12/13 της γυναικος αυτου] ταυτα z | 12 αυτου > A [D, ut constat e spatio, = b] | 13 ελαλησεν ADEt[1] | 13 post λεγουσα + η γυνη αυτου z | 13/14 εποιησεν ADE | 14 και prius > E | 14 ελαβεν A [D = b] | 14/15 ο κυριος > z | 15 ante ιωσηφ + τον z | 15 ante ενεβαλεν + και A | 15 post οχυρωμα + και c | 16 κατειχοντο E, κατερχονται z | 18 ελαιον z | 18 του αρ prima manu in rasura t, χ uetustum, ι non scribitur in his uocabulis, si abbreuiantur | 18 δεσμοφυλακος E | 19 αρ in rasura t, χιδεσμοφυλαξ in corio intacto manu prima | 20 απηγμενους Aabcmtz, εγκεκλισμενους D [teste Grabio: superest εγκεκ νου], εγκεκλεισμενους E. „Symmachus δεδεμενους“ b | 20 οσοι > c

καὶ πάντα, ὅσα ποιοῦσιν ἐκεῖ, αὐτὸς ἦν ποιῶν. 23 οὐκ ἦν ὁ
ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων δι' αὐτὸν οὐθέν·
πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσὴφ διὰ τὸ τὸν κύριον μετ'
αὐτοῦ εἶναι· καὶ ὅσα αὐτὸς ἐποίει, ὁ κύριος εὐώδου ἐν ταῖς
χερσὶν αὐτοῦ. 1 ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα, ἥμαρτεν 40
ὁ ἀρχιοινοχόος τοῦ βασιλέως Αἰγύπτου καὶ ὁ ἀρχισιτοποιὸς
τῷ κυρίῳ αὐτῶν, βασιλεῖ Αἰγύπτου. 2 καὶ ὠργίσθη Φαραὼ
ἐπὶ τοῖς δυσὶν εὐνούχοις αὐτοῦ, ἐπὶ τῷ ἀρχιοινοχόῳ καὶ ἐπὶ
τῷ ἀρχισιτοποιῷ. 3 καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ εἰς τὸ
δεσμωτήριον, εἰς τὸν τόπον, οὗ Ἰωσὴφ ἀπῆκτο ἐκεῖ. 4 καὶ
συνέστησεν ὁ ἀρχιδεσμώτης τῷ Ἰωσὴφ αὐτούς, καὶ παρέστη
αὐτοῖς· ἦσαν δὲ ἡμέρας ἐν τῇ φυλακῇ. 5 καὶ εἶδον ἀμφότε-
ροι ἐνύπνιον ἐν μιᾷ νυκτί· ἡ δὲ ὅρασις τοῦ ἐνυπνίου τοῦ
ἀρχιοινοχόου καὶ ἀρχισιτοποιοῦ, οἳ ἦσαν τῷ βασιλεῖ Αἰγύ-
πτου, οἱ ὄντες ἐν τῷ δεσμωτηρίῳ, ἦν αὕτη. 6 εἰσῆλθε πρὸς

1 *αυτος ην ποιων* > ADEmtz | 2 *αρχιδεσμωφυλαξ* t | 2 *του δεσμωτηριου* > A, habet D | 2 *γινώσκον* z | 2 *ουδεν* cz, D=b | 3 *το* > D | 4 post *οσα* + *αν* mt, non D | 4 *αυτος* > z | 4 *εποει* z | 4 *ο* > ADEacz | 4 *ευοδοι κυριος* z | 4 *ευοδοι* ADE | 4 *ταις* > a | 6 *ο αρχιοινοχοος και ο αρχισιτοποιος*] „Aquila *ο ποτιστης και ο πεσσων*“ b | 6 *αρχινοχοος* m[1], sero correctum | 7 ante *βασιλει* + *τω* Dz | 7 *φαραω* > mt | 8/9 *επι τω αρχιοινοχοω και επι τω αρχισιτοποιω* > E | 8 *επι* primum > Dz | 8 *αυτου* > z | 8 *επι* secundum et tertium > z | 8 *αρχινοχοω* m[1], sero correctum | 9 *τω* > c | 9 *αρχισιτωποιω* z' | 9 post *εν* + *τη* c | 9 *φυλακὶ* m | 9 post *φυλακη* + *παρα τω αρχιδεσμοφυλακει* A [sic, aliter ac uulgo traditur] E [nisi quod hic *αρχιδεσμοφυλακι*], + *παρα τωι δεσμοφυλακι* D [*τω* D] mt, + *παρα τω αρχιμαγειρω* z | 10 *εις τον τοπον* > m | 10 ante *ου* + *εν τω οχειρωματι* z | 10 *ου*] *οπου* D | 10 *ιωσηφ επεκειτο εκει* c, *ην ιωσηφ* E | 11 *παρεστησεν* Ea | 11 ante *ο* + *αυτους* z | 11 *τω* > z | 11 *αυτους* > z | 11/12 *και παρεστη αυτοις* > D | 12 *αυτοις*] *αυτους αυτω* a, *αυτους* t | 12 post *δε* + *εκει* z | 12 post *ημερας* + *πλειστους* z | 12 post *φυλακη* + *πλειους* mt | 12 *ιδον* AE | 12/13 *αμφοτεροι* > Ez | 13 init *ενυπνια* t | 13 post *ενυπνιον* + *εκατερος ενυπνιον* ADE, + *εκατεροι ενυπνιον* mt | 13 *νυκτι*] *φυλακη* D | 13/14 *νυκτι ἓν· ὧν αι ορασεις του ενυπνιου αυτων. ο οινοχοος και ο σιτοποιος ησαν* c | 13/14 „AALL *ορασις του ενυπνιου αυτων. ο αρχιοινοχοος και ο αρχισιτοποιος, οἳ ησαν τω βασιλει αιγυπτου, οι οντες εν τοις δεσμωτηριοις*“ b | 13/15 quae inter *η* 13 et *αυτη* 15 media, > z | 13 *η δε* > ADEmt | 13 *του* alterum] *αυτου* AEmt | 14 *ο αρχιοινοχοος και ο αρχισιτοποιος* A [non D] Em [nisi quod *αρχινοχοος* m[1]] t | 14 post *και* + *του* D | 14 post *ησαν* + *εν* t | 15 *οι* > c | 15 *τοις δεσμωτηριοις* mt | 15 *ην αυτη* > ADEcmt | 15 *εισηλθεν* ADEt[1] | 15 post *εισηλθε* + *δε* AD [GB] Ecmtz | 15/1 *ιωσηφ προς αυτους* E

αὐτοὺς Ἰωσὴφ τὸ πρωί, καὶ εἶδεν αὐτοὺς καὶ ἦσαν τεταραγμένοι. [7] καὶ ἠρώτα τοὺς εὐνούχους Φαραώ, οἳ ἦσαν μετ' αὐτοῦ ἐν τῇ φυλακῇ παρὰ τῷ κυρίῳ αὐτοῦ, λέγων Τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον; [8] οἱ δὲ εἶπαν αὐτῷ Ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. εἶπε δὲ αὐτοῖς Ἰωσὴφ Οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν ἐστί; διηγήσασθε οὖν μοι. [9] καὶ διηγήσατο ὁ ἀρχιοινοχόος τὸ ἐνύπνιον αὐτοῦ τῷ Ἰωσὴφ καὶ εἶπεν Ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου. [10] ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ θάλλουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι οἱ βότρυες σταφυλῆς. [11] καὶ τὸ ποτήριον Φαραὼ ἐν τῇ χειρί μου· καὶ ἔλαβον τὴν σταφυλὴν καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον, καὶ ἔδωκα τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραώ. [12] καὶ εἶπεν αὐτῷ Ἰωσὴφ Τοῦτο ἡ σύγκρισις αὐτοῦ. οἱ τρεῖς πυθμένες τρεῖς ἡμέραι εἰσίν. [13] ἔτι τρεῖς ἡμέραι καὶ μνησθήσεται Φαραὼ τῆς ἀρχῆς σου, καὶ ἀποκαταστήσει σε ἐπὶ τὴν ἀρχιοινοχοΐαν σου, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν. [14] ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ γένηταί σοι, καὶ ποιήσεις ἐν ἐμοὶ ἔλεος, καὶ μνησθήσῃ περὶ

θνησκέτω· καὶ ἡμεῖς δὲ ἐσόμεθα παῖδες τῷ κυρίῳ ἡμῶν.
10 *ὁ δὲ εἶπε Καὶ νῦν ὡς λέγετε, οὕτως ἔσται· παρ' ᾧ ἂν*
εὑρεθῇ τὸ κόνδυ, ἔσται μου παῖς, ὑμεῖς δὲ ἔσεσθε καθαροί.
11 *καὶ ἔσπευσαν καὶ καθεῖλαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ*
ἐπὶ τὴν γῆν, καὶ ἤνοιξαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ.
12 *ἠρεύνησε δὲ ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος ἕως ἦλθεν*
ἐπὶ τὸν νεώτερον, καὶ εὗρε τὸ κόνδυ ἐν τῷ μαρσίππῳ τοῦ
Βενιαμίν. 13 *καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέθηκαν*
ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπὶ τὸν ὄνον αὐτοῦ, καὶ ἐπέ-
στρεψαν εἰς τὴν πόλιν. 14 *εἰσῆλθε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ*
αὐτοῦ πρὸς Ἰωσήφ, ἔτι αὐτοῦ ὄντος ἐκεῖ· καὶ ἔπεσον ἐναν-
τίον αὐτοῦ ἐπὶ τὴν γῆν. 15 *εἶπε δὲ αὐτοῖς Ἰωσὴφ Τί τὸ*

1 syllaba *τα* uocis *ταῦτα* et integrum comma 7 in rasura a correctore peruetusto A. post *τα* illud octo, post *κυ* uocis *κυριος* duorum, post *ταυτα* 2 quinque, post *ποι* uocis *ποιησαι* 2 duorum, post *τουτο* 3 duodecim elementorum radendo deletorum spatium uacuum | 1 *ειπον* A [sed correctoris] xz | 1 *λαλει*] *λεγει* mt | 1 *κς* F, *υριο* sûper uersum | 1 post *κυριος* + *μου* D [GR] | 2 *παισιν* A [correctoris] DF [non t] x^1 | 3 *κατα το ρημα* > z | 3 *κατα* > A correctoris | 3 *μεν το* z | 3 *ευραμεν* A, *ευρωμεν* z | 4 *μαρσιποις* z | 4 *ημων* > t, *υμων* a | 4 *σε*] *υμας* D [GR] | 4 *χαναν* F | 5 *πως δ αν* z | 5 *εκλεψαμεν* F | 6 *αν*] *εαν* D [GR] Fx | 6 *ευρεθη* AD [GR: superest *η* ante *το*] Fcxz | 7 *ημεις διεσωμεθα* z | 7 *δε* > F | 7 *τῳ κυριω ημων παιδες* cxz [*τω* xz] | 7 fin *υμων* ay | 8 *ειπεν* ADFct^1x^1 | 8 *λεγεται* t | 8 ante *παρ* + *ο ανθρωπος* ADFamtz | 8 *αν*] *εαν* D [GR] x | 9 post *κονδυ* + *μου* x | 9 ante *εσται* + *αυτος* ADFamtz | 9 *εσεσθαι* ADt | 10 *καθειλον* ayz, *καθηλαν* t | 11 > mt | 11 *και ηνοιξαν εκαστος τον μαρσιππον αυτου* > x | 11 *ηνοιξεν* AD [GR] cz | 12 *ηραυνα* AFm, *ηρευνα* D [GR: superest *ηρε*] atxyz | 13 *επι*] *εις* z | 13 ante *και* + *συντελεσας* x, post *και* + idem a | 13 *ευρεν* AFt^1x^1 | 13/14 *τω βενιαμειν* AF, et ut uidetur x^1, *τωι βενιαμιν* m, *βενιαμιν* omisso articulo z, *του βενιαμειν* x nunc, in quo *ου* recens | 15 *την ονον* z | 15/16 *υπεστρεψαν* D [GR: superest *υπε*] z, *απεστρεψαν* cm [t = b] | 16 *εισηλθεν* AFt^1x^1 | 17 *ετι* > z | 17 *επεσαν* ex. D...*σον* | 18 *ειπεν* AFt^1x^1 | 18 ante *ιωσηφ* + *ο* mt

πρᾶγμα τοῦτο ἐποιήσατε; οὐκ οἴδατε ὅτι οἰωνισμῷ οἰωνιεῖται ὁ ἄνθρωπος οἷος ἐγώ; [16]εἶπε δὲ Ἰούδας Τί ἀντεροῦμεν τῷ κυρίῳ ἢ τί λαλήσομεν ἢ τί δικαιωθῶμεν; ὁ θεὸς δὲ εὗρε τὴν ἀδικίαν τῶν παίδων σου· ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν, καὶ ἡμεῖς καὶ παρ' ᾧ εὑρέθη τὸ κόνδυ. [17]εἶπε δὲ Ἰωσὴφ Μή μοι γένοιτο ποιῆσαι τὸ ῥῆμα τοῦτο· ὁ ἄνθρωπος παρ' ᾧ εὑρέθη τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς· ὑμεῖς δὲ ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν πατέρα ὑμῶν. [18]ἐγγίσας δὲ αὐτῷ Ἰούδας εἶπε Δέομαι, κύριε· λαλησάτω ὁ παῖς σου ῥῆμα ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, ὅτι σὺ εἶ μετὰ Φαραώ, [19]κύριε. σὺ ἠρώτησας τοὺς παῖδάς σου λέγων Εἰ ἔχετε πατέρα ἢ ἀδελφόν; [20]καὶ εἴπαμεν τῷ κυρίῳ Ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος, καὶ παιδίον γήρους νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν, αὐτὸς δὲ μόνος ὑπελείφθη τῇ μητρὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησεν. [21]εἶπας δὲ τοῖς παισί σου Καταγάγετε αὐτὸν πρὸς μέ, καὶ ἐπιμελοῦμαι αὐτοῦ. [22]καὶ εἴπαμεν τῷ κυρίῳ Οὐ δυνήσεται τὸ παιδίον καταλιπεῖν τὸν πατέρα αὐτοῦ· ἐὰν δὲ καταλίπῃ τὸν πατέρα, ἀποθανεῖται. [23]σὺ δὲ εἶπας τοῖς παισί σου

1 post τουτο + ο D [GR] z | 1/2 οιωνιειτε A, οιωνιζεται Damtz. „AA LL οιωνισμῳ οιωνιζεται. schol το σαμαρειτικον Και αυτος πειρασμῳ πειραζει εν αυτῳ. aliud schol και γαρ εγνωτε οτι πειρασμῳ πειραζεται ομοιος εμοι“ b | 2 ο > Amt | 2 οις εγω z | 2 ειπεν AFt^{1}x^1 | 3 λαλησωμεν AD [GR: superest ωμεν] Fctx^{1}z | 3 θεος δε] δε θεος AD [GR] Fcmtxz | 3 ευρεν ADFc [non t] x^1 | 4 ιδου] ου z | 4 οἰκέτε t | 5 ν uocis ημων in rasura A | 5 ηυρεθη D [GR] | 5 ειπεν AFt^{1}x^1 | 7 μου] μοι z | 7 ημεις a | 8 αναβαινετε x | 8 ημων z^1? | 8 εγγισας] επιστας z | 9 αυτῳ > t | 9 ειπεν AFct^{1}x^1 | 10 ρημα > a [non x], ρηματα D [GR] c | 10 θυμωθεις z | 10 οτε mt | 11 ει] ης m, ἦις t | 11 κυριε > x | 11 ερωτησας m | 11 σου > A, prima manu lacuna indicata | 12 εχεται t | 12 ειπομεν x, ειπῶμεν z | 12 τῳ κυριῳ > m | 12 post κυριῳ + οτι a, + υμων [sic] z | 13 εστι πατηρ ημιν m | 13 παιδαριον γηρως D [GR], παιδιον γηρως Fx, παιδιον εκ γηρως ay, παιδιον εκ γηρους z | 13/14 νεωτερον γηρως A | 14/15 υπελειφθη δε αυτος μονος x | 15 υπεληφθη mt | 15 τῃ μητρι] τω πατρι Az | 15 πατηρ αυτου ηγαπησεν αυτον x | 16 παισιν AFx^1 | 16 post σου + οτι A | 17 ante ου + μου c | 18 παιδαριον D [GR] txz | 18 καταλειπειν D [GR] x^1 [sero in hoc correctum] | 18 αυτου > AD [GR] Famtx | 18 fin καταλειπη AD [GR] Fx^1 [sero correctum], καταλειπει z | 19 post πατερα + αυτου x | 19 αποθανειτε A | 19 παισιν AFx^1 | 19 post σου + οτι a

Ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ' ὑμῶν, οὐ προσθήσεσθε ἰδεῖν τὸ πρόσωπόν μου. [24]ἐγένετο δέ, ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου, πατέρα ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥήματα τοῦ κυρίου ἡμῶν. [25]εἶπε δὲ ὁ πατὴρ ἡμῶν Βαδίσατε πάλιν καὶ ἀγοράσατε ἡμῖν μικρὰ βρώματα. [26]ἡμεῖς δὲ εἴπομεν Οὐ δυνησόμεθα καταβῆναι· ἀλλ' εἰ μὲν ὁ ἀδελφὸς ἡμῶν ὁ νεώτερος καταβαίνει μεθ' ἡμῶν, καταβησόμεθα. οὐ γὰρ δυνησόμεθα ἰδεῖν τὸ πρόσωπον τοῦ ἀνθρώπου, τοῦ ἀδελφοῦ ἡμῶν τοῦ νεωτέρου μὴ ὄντος μεθ' ἡμῶν. [27]εἶπε δὲ ὁ παῖς σου, πατὴρ ἡμῶν, πρὸς ἡμᾶς Ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέ μοι ἡ γυνή. [28]καὶ ἐξῆλθεν ὁ εἷς ἀπ' ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονεν, καὶ οὐκ [ε]ἶδον αὐτὸν ἄχρι νῦν. [29]ἐὰν οὖν λάβητε καὶ τοῦτον ἐκ τοῦ προσώπου μου καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου. [30]νῦν οὖν, ἐὰν εἰσπορεύωμαι πρὸς τὸν παῖδά σου, πατέρα δὲ ἡμῶν, καὶ τὸ παιδίον μὴ ᾖ μεθ' ἡμῶν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐκκρέμαται ἐκ τῆς τούτου ψυχῆς: [31]καὶ ἔσται ἐν τῷ ἰδεῖν αὐτὸν μὴ ὂν τὸ παιδίον μεθ' ἡμῶν, τελευτήσει, καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παι-

2 *προσθησεθαι* A^1, prima manus ante *θ* alterum supra uersum *σ* addidit | 2 ante *ιδειν* nostrum + *ετι* AD [GR] Famtxz | 2 *ειδειν* AF | 3 ante *πατερα* + *τον* z | 3 post *πατερα* + *δε* AD [GR] Famtx | 4 post *αυτω* + *κατα* x | 4 in *κυριου* apud A *ρ* in rasura trium literarum capaci „manu perantiqua" | 4 *ημων* prius > AD [GR] Famtz, *μου* x | 4 *ειπεν* AFt^{1}x^1 | 4 post *δε* + *ημιν* AD [GR] Famtx, + *ο παις σου* z | 5 *βαδισατε* > z | 5 *και* > AD [GR] Facmtxz | 5 *αγορασατε*] *πορευθεντες πριασασθε* z | 6 *ειπαμεν* AD [GR] Fcmtz | 6 *ου δυνησομεθα καταβηναι* > mt | 7 *καταβαινη* c, *καταταβαινει* F | 9 *ημων* prius > AD [GR] Famtz | 9 *ειπεν* AFt^{1}x^1 | 10 *ο παις σου* ay post *ημων* | 10 ante *πατηρ* + *ο* AD [GR] acmtxyz | 10 post *πατηρ* + *δε* F | 10 *προς υμας* m, > x | 11 *ετεκεν* AFt^{1}x^1 | 11 post *γυνη* + *μου* D [GR] x | 12 post *ειπατε* + *μοι* a | 12 *οτι* > Amt | 12 *θηριοβροτος* tz | 12 *γεγονε* mt^{2}x^{2}z, *εγενετο* a | 12 *ιδον* AD [GR] ab [x^1?], *οιδον* z | 12/13 *αχρι νυν* bc, *ετι* Amtz, *ουκετι* D [GR], *ετι και νυν* F, *ετι αχρι και νυν* ay, *ετι αχρι νυν* x | 13 *εαν ουν*] *και νυν ουν εαν* D [GR] mz, *και νυν εαν* t | 13 *και τουτον*] *αυτον* z | 13 *του* > Acx | 14 post *οδω* + *η αν πορευησθε* Fz | 14 *καταξητε* D [GR], *καταξεται* mt | 15 *εαν* > m [non t] | 15 *εισπορευομαι* A, *εκπορευομαι* mt, *πορευομαι* z | 15 *προς*] *εις* c | 16 *παιδιον*] *παιδαριον* AD [GR] z | 16 *ῃ*] *ει* m | 17 *εκκρεμμαται* t. „Aquila *συνδεδεμενη*. Symmachus *ενδεδεται*" b | 17 *εκ*] *απο* x | 17 *ψυχης τουτου* cx | 18 *εστε* A | 18 *παιδαριον* AD [GR: ?] xz | 19 *σου* > F

δός σου, πατρὸς δὲ ἡμῶν, μετὰ λύπης εἰς ᾅδου. 32 ὁ γὰρ
παῖς σου παρὰ τοῦ πατρὸς λέγων ἐκδέδεκται τὸ παιδίον
Ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν ἐνώπιόν σου,
ἡμαρτηκὼς ἔσομαι εἰς τὸν πατέρα πάσας τὰς ἡμέρας. 33 νῦν
οὖν παραμενῶ σοι παῖς ἀντὶ τοῦ παιδίου, οἰκέτης τοῦ κυ-
ρίου· τὸ δὲ παιδίον ἀναβήτω μετὰ τῶν ἀδελφῶν αὐτοῦ.
34 πῶς γὰρ ἀναβήσομαι πρὸς τὸν πατέρα, τοῦ παιδίου μὴ
ὄντος μεθ' ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακά, ἃ εὑρήσει τὸν πατέρα
45 μου. 1 καὶ οὐκ ἠδύνατο Ἰωσὴφ ἀνέχεσθαι πάντων τῶν παρε-
στηκότων αὐτῷ, ἀλλ' εἶπεν Ἐξαποστείλατε πάντας ἀπ' ἐμοῦ·
καὶ οὐ παρειστήκει οὐδεὶς τῷ Ἰωσήφ, ἡνίκα ἀνεγνωρίζετο τοῖς
ἀδελφοῖς αὐτοῦ. 2 καὶ ἀφῆκε φωνὴν μετὰ κλαυθμοῦ· ἤκουσαν
δὲ πάντες οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον
Φαραώ. 3 εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγώ
εἰμι Ἰωσήφ· ἔτι ὁ πατήρ μου ζῇ; καὶ οὐκ ἠδύναντο οἱ ἀδελ-
φοὶ ἀποκριθῆναι αὐτῷ· ἐταράχθησαν γάρ. 4 εἶπε δὲ Ἰωσὴφ

1 *μετα οδυνης* m, *μετ οδυνης* AD [GB:?] Fayz | 2 post *σου* + *ο πατηρ ημων* a | 2 *παρα του πατρος λεγων* post *παιδιον* AD [GB] Fmtxy, > az. c ut ADFmtx, nisi quod *μου* addit post *πατρος* | 2 *εκδεχεται* F | 2 *παιδαριον* z | 2 post *παιδιον* + *παρ εμου ειποντος αυτῳ* a | 3 ante *εαν* + *και* z | 3 *αυτο προς* z | 3 *σε*] *αυτον* z | 3 *και στησω αυτον ενωπιον σου* > c | 3 *αυτον* alterum > z | 3 *εναντιον* AD [GB] Faz | 3 *σου*] *αυτου* z | 4 *ημαρτηκος* z | 4 *εις*] *προς* AD [GB] F[1] [sed corrector substituit *εις*] cmtz | 5/6 *κυρ* uocis *κυριου* manu prima in rasura A. post *κυριου* + *μου* cx | 6 *δε* > m [non t] | 6 *αυτου* > AD [GB] Famtxz | 7 post *γαρ* + *αν* z | 7 *προς*] *ιδειν* z | 7 ante *μη* + *του νεωτερου* z | 8 *οντως* m | 8 *μη* > z | 8 *τα κακα ιδω* z | 8 *ι* uocis *ιδω* nunc euanidum F | 9 *εδυνατο* x | 9 ante *ιωσηφ* + *ο* t | 9 *αναχεσθαι* D [GB: „fortasse potius *ανασχεσθαι*“ Tdf], *ανεσχεσθαι* c | 9 *των* > z | 10 init *ἀτῷ* c | 10 *εξαπεστειλατε* z | 10 *παντες* z | 10 *απ εμου* > z | 11 *παριστηκει* AD [GB] t [x[1]?], *παρεστηκει* c | 11 post *ουδεις* + *ετι* AD [GB] F[2]amtxz, + *επι* F[1] | 11 *τῳ ιωσηφ*] *αυτω* x | 11 *εγνωριζετο* z | 11 ante *τοις* + *ιωσηφ* Ax | 12 post *αυτου* + *του δευτερου* z | 12 *και* > z | 12 *αφηκεν* AFt[1]x[1] | 12 *μετα*] *μεγαλην* F | 12 *κλαθμου* A. certe Baberus in uolumine IV „erratum typographicum“ non adscribit neque uero etiam ullam eius mentionem inicit. *κλαθμου* etiam m [non t] | 13 *παντες* > x | 14 *ειπεν* AFt[1]x[1] | 14 *προς τους αδελφους*] *τοις αδελφοις* F | 15 post *ιωσηφ* + *ο αδελφος υμων ον απεδοσθε εις αιγυπτον* A, sed haec uerba et sequentia usque ad finem commatis in rasura manu perantiqua | 15 *εδυναντο* A [correctoris] D [GB] x | 16 post *φοι* + *αυτου* D [GB] cmtxz | 16 *ανταποκριθηναι* t | 16 post *γαρ* +

πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἐγγίσατε πρός μέ. καὶ ἤγγισαν, καὶ εἶπεν Ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον. 5 νῦν οὖν μὴ λυπεῖσθε μηδὲ σκληρὸν ὑμῖν φανήτω ὅτι ἀπέδοσθέ με ὧδε· εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν. 6 τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὰ πέντε ἔτη, ἐν οἷς οὐκ ἔστιν ἀροτρίασις οὐδὲ ἀμητός. 7 ἀπέστειλε γάρ με ὁ θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς καὶ ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην. 8 νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλὰ ὁ θεός, καὶ ἐποίησέ με ὡς πατέρα Φαραὼ καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου. 9 σπεύσαντες οὖν ἀνάβητε πρὸς τὸν πατέρα μου καὶ εἴπατε αὐτῷ Τάδε λέγει ὁ υἱός σου Ἰωσὴφ Ἐποίησέ με ὁ θεὸς κύριον πάσης γῆς Αἰγύπτου· κατάβηθι οὖν πρὸς μέ, καὶ μὴ μείνῃς. 10 καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ Ἀραβίας, καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου καὶ οἱ βόες σου καὶ ὅσα σοί ἐστι. 11 καὶ ἐκθρέψω σε ἐκεῖ (ἔτι γὰρ πέντε ἔτη λιμός) ἵνα μὴ ἐκτριβῇς σὺ καὶ οἱ υἱοί σου καὶ πάντα τὰ ὑπάρχοντά σου. 12 ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς

απο προσωπου αυτου x | 16 *ειπε* usque ad *ηγγισαν* 1 > A | 16 *ειπεν* Ft^{1}x^1

1 *ηγγεισαν* F | 1 fin + *προς αυτον* Fz | 2 *ημων* z | 3 *μη* manu prima in rasura x | 3 *λυπεισθαι* A, *λυπησθε* a | 3/4 *φανητω υμιν* c | 4 *φανειτω* z | 4 *με* prius] *μαι* t | 4 *ζωην*] „Aquila *ζωωσιν*, Symmachus *σωτηριαν*“ b | 4 *απεστειλεν* AFt^1, *απεσταλκεν* x^1, *απεσταλκε* x^2 | 6 *ετι λοιπα*] *ἐπίλοιπα* x | 6 *ετι*] *ετη* aldina sequentibus non mutatis | 6 *εστιν*] *εσται* AD [GR] Fcxz | 7 *αμιτος* z | 7 *απεστειλεν* AFt^{1}x^1 | 8 *υμιν*] *υμων* AFx | 8 *καταλιμμα* x^{1}y | 8 *επι της γης* > mt | 9 *υμων*] *υμιν* c | 9 *καταλιψιν* AF, *καταληψιν* t | 9 post *ουχ* + *ως* t | 10 *αλλ η* Axz, *αλλ* cmt | 10 *και* > mt | 10 *εποιησεν* AF [non t] x^1 | 12 *γης* > t | 13 *ο* > c | 13/14 *εποιησεν* AFt^{1}x^1 | 14 *κυριος* D [GR] | 14 *γης* etiam D, *της* F, *της γης* c | 15 *μη* > D [GR] | 15 *ει* uocis *μεινης* x recentius in rasura | 15 *κατοικησον* F | 15 *γεσσε* t | 16 *αραβειας* F, > c, *αρραβιας* t, *αρραβια* z | 16 *οι* alterum > cz^1 | 17 ante *τα* + *και* x | 17 *και οι βοες σου* > x | 17 *αι βοες* At | 18 *εστιν* Fct^{1}x^1, *εκει* A | 18 *διαθρεψω* z | 18 post *λιμος* + *εσται επι της γης* a, + *εσται και* z | 19 *οι* > c | 19 post *σου* + *και ο οικος σου* z | 20 *σου*] *σοι* ay | 20 *βλεπουσιν* AFct^{1}x^1 | 21 *βενιαμειν* AFx, sed x post *του αδελφου μου* ponit

ὑμᾶς. [13] *ἀπαγγείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν*
μου τὴν ἐν Αἰγύπτῳ καὶ ὅσα [ε]ἴδετε, καὶ ταχύναντες κατα-
γάγετε τὸν πατέρα μου ὧδε. [14] *καὶ ἐπιπεσὼν ἐπὶ τὸν τρά-*
χηλον Βενιαμὶν τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν ἐπ' αὐτῷ, καὶ
Βενιαμὶν ἔκλαυσεν ἐπὶ τῷ τραχήλῳ αὐτοῦ. [15] *καὶ καταφιλή-*
σας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἔκλαυσεν ἐπ' αὐτοῖς, καὶ
μετὰ ταῦτα ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν. [16] *καὶ*
διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραὼ λέγοντες Ἥκασιν οἱ
ἀδελφοὶ Ἰωσήφ. ἐχάρη δὲ Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ.
[17] *εἶπε δὲ Φαραὼ πρὸς Ἰωσὴφ Εἰπὸν τοῖς ἀδελφοῖς σου*
Τοῦτο ποιήσατε· γεμίσατε τὰ φορεῖα ὑμῶν καὶ ἀπέλθετε εἰς
γῆν Χαναάν, [18] *καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν καὶ τὰ*
ὑπάρχοντα ὑμῶν ἥκετε πρὸς μέ· καὶ δώσω ὑμῖν πάντων
τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν μυελὸν τῆς γῆς.
[19] *σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοῖς ἁμάξας ἐκ γῆς Αἰγύ-*
πτου τοῖς παιδίοις ὑμῶν καὶ ταῖς γυναιξὶν ὑμῶν, καὶ ἀνα-
λαβόντες τὸν πατέρα ὑμῶν παραγίνεσθε. [20] *καὶ μὴ φείσησθε*
τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν· τὰ γὰρ πάντα ἀγαθὰ

1 post *υμας* + *ταυτα* z | 1 *δοξαν*] *τιμην* D [GR] | 2 *ιδετε* AFbxz, *οιδατε* a, *ειδετε* cmt | 3 *επιπισων* a?, *επιπεσον* t | 4 *βενιαμειν* AFx, *του βενιαμιν* c | 4 *εκλαυσε* x², *επεπεσεν* A, praecedentibus non mutatis | 4 *επ αυτῳ* > x | 5 *βενιαμειν* AFx | 5 *τραχειλωι* t | 6 *επ αυτους* mt | 7 *λελαληκασιν* a | 7 *αυτου προς* > m, *προς* Crusius in libro mutuo accepto super uersum addidit | 8 *λεγοντες* > mt | 9 ante *η* + *πασα* F | 9 *ει* uocis *θεραπεια* recentius in rasura x | 10 *ειπε δε*] *και ειπε* mt², *και ειπεν* t¹ | 10 *ειπεν* AFx¹ | 10 *προς*] *τω* c | 10 post *σου* + *οτι* x | 11 *γεμεισατε* t | 11 *πορια* A, *πορεια* D [GR] Famtxy, *φορτια* z. „ita [ut bc] LL UU et ita Hieronymus [in editione Erasmi, non in mea] in quaest hebr testatur uertisse septuaginta et interpretatur uehicula. AA LL *πορεια*. in aliis est *φορτια*. Ambrosius: mandat impleri eorum sarcinas tritico" b | 11 post *υμων* + *σιτου* cz | 11 *απελθατε* AD [GR] Fxz | 12 ante *γην* + *την* m [non t] | 12 *παραλαβοντες* AD [GR] Fcmtxz | 12 ante *τα* + *παντα* z | 13 *υμων*] *ημων* A | 13 *ηκατε* ctz | 14 *των* > x | 14 *αιγυπτου*] *της γης* m | 14 *φαγεσθαι* A | 15 *εντειλε* D [GR] tz | 15 *αυτους* cmtxz | 15/16 *εκ γης αιγυπτου αμαξας* xz | 15 ante *γης* + *της* c | 16 *γυναιξι* mt² x² z | 16 *υμων* alterum > AFcmtxz | 17 *παραγεινεσθαι* [aliter ac uulgo traditur] A [Baberus in uolumine IV *παραγινεσθαι*], *παραγεινεσθε* D [GR], *παραγενεσθε* z | 17/18 *και* 17 usque ad *υμων* 18 > z | 17/18 *τοις οφθαλμοις· μη φεισησθε* x | 17 *φισησθε* F | 18 *τοις οφθαλμοις* > t | 18 *υμων των σκευων* A | 18 *αποσκευων* c | 18 *αγαθα παντα* x

Αἰγύπτου ὑμῖν ἔσται. [21]*ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ· ἔδωκε δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰ εἰρημένα ὑπὸ Φαραὼ τοῦ βασιλέως, καὶ ἔδωκεν αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν.* [22]*καὶ πᾶσιν ἔδωκε δισσὰς στολάς, τῷ δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσοῦς καὶ πέντε ἐξαλλασσούσας στολάς.* [23]*καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλε κατὰ τὰ αὐτά, καὶ δέκα ὄνους αἴροντας ἀπὸ πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ δέκα ἡμιόνους αἰρούσας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς ὁδόν.* [24]*ἐξαπέστειλε δὲ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ἐπορεύθησαν· καὶ εἶπεν αὐτοῖς Μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ.* [25]*καὶ ἀνέβησαν ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς γῆν Χαναὰν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν,* [26]*καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες ὅτι Ὁ υἱός σου Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ ἐξέστη τῇ διανοίᾳ Ἰακώβ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς.* [27]*ἐλάλησαν δὲ αὐτῷ πάντα τὰ ῥηθέντα ὑπὸ Ἰωσήφ, ὅσα εἶπεν αὐτοῖς· ἰδὼν δὲ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ ὥστε ἀναλαβεῖν αὐτόν, ἀνεζωπύρησε τὸ πνεῦμα Ἰακὼβ τοῦ πατρὸς αὐτῶν.* [28]*εἶπε δὲ Ἰσραὴλ Μέγα μοί ἐστιν, εἰ ἔτι Ἰωσὴφ ὁ υἱός μου*

1 *οι* > z | 2 *εδωκεν* AFt^1, *και εδωκεν* x | 2 *δε* > x | 2 *αυτοις ιωσηφ* D [GR] x, *αυτοις ιωσηφ αυτοις* z | 2 *υπο* > a | 3 *του βασιλεως* > D [GR] x | 3 *του* > Fam | 3 ante *και* + *αιγυπτου* Famtz | 4 *εδωκεν* AFt^1x^1 | 4 *αυτω* z | 4 *τω δε βενιαμειν* Fx, *και τω βενιαμειν* A | 5 *εδωκεν* AFt^1x^1 | 5 „schol *ο συρος πεντε ζυγὰς στολων και διακοσιους χρυσινους*“ b. idem habet m | 5 *πεντε*] *ε* m | 5 *αλλασσουσας* A, *ξαλ* nunc deest in F | 5 *ας στο* desideratur nunc in F | 6 *αι τω πατρι* nunc desiderantur in F | 6 *απεστειλεν* AF [nunc *απεστει* desideratur in F] x^1, *εξαπεστειλε* mt^2, *εξαπεστειλεν* t^1, > a [non y] | 6 *κατα τα αυτα*] „AA LL *κατα ταῦτα*“ b | 6/7 *και δεκα ονους αιροντας απο* in rasura „corrector coaeuus“ A | 7 post *αιγυπτου* + *αιροντας* A | 8 post *αρτους* + *και τροφην* x | 8 ante *οδον* + *την* az | 8/9 *εξαπεστειλεν* AFt^1x^1z | 9 *δε* > z | 9 ante *τους* + *ιωσηφ* amtz | 10 *οργιζεσθαι* A | 11 *ηλθοσαν* z | 11 ante *γην* + *την* z | 12 *απηγγειλαν* F | 12/13 *ιωγηφ* b | 13 *αυτος*] *ουτος* Amt | 13 ante *γης* + *της* A | 13 *γης* > at | 14 *η διανοια* AF [*δ* nunc desideratur in F] | 14 ante *ιακωβ* + *ο* a | 14 *ου* nunc desideratur in F | 14 *σεν αυ* nunc desideratur in F | 14 *ελαλησεν* A, uox nunc desideratur in F, omnino > mt | 15 > mt | 15 ante *τα* + *τα ρηματα* a | 15 *ρηθεντα*] *ρηματα* z | 15 post *ρηθεντα* + *αυτοις* D [GR] | 15 *υπο* > z | 15 *οσα*] *α* D [GR] | 17 init *αυτους* z | 17 *ανεζωπυρισεν* AFt^1, *ανεζωπυρισε* t^2, *ανεζωπυρησεν* x^1 | 17 *τον πνευμα* a | 18 *ειπεν* AFt^1x^1 | 18 *ο υιος μου ιωσηφ* Ac | 18 ante *ιωσηφ* + *ι* m

46 ζῇ· πορευθεὶς ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με. 1 ἀπάρας δὲ Ἰσραήλ, αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου, καὶ ἔθυσε θυσίαν τῷ θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. 2 εἶπε δὲ ὁ θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτὸς εἰπὼν Ἰακὼβ Ἰακώβ. ὁ δὲ εἶπε Τί ἐστιν; 3 ὁ δὲ λέγει αὐτῷ Ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον· εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ. 4 καὶ ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος, καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. 5 ἀνέστη δὲ Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἀνέλαβον οἱ υἱοὶ Ἰσραὴλ τὸν πατέρα αὐτῶν καὶ τὴν ἀποσκευὴν καὶ τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ ἆραι αὐτόν. 6 καὶ ἀναλαβόντες τὰ ὑπάρχοντα αὐτῶν καὶ πᾶσαν τὴν κτῆσιν, ἣν ἐκτήσαντο ἐν γῇ Χαναάν, εἰσῆλθον εἰς Αἴγυπτον, Ἰακὼβ καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ’ αὐτοῦ, 7 υἱοὶ καὶ υἱοὶ τῶν υἱῶν αὐτοῦ μετ’ αὐτοῦ, θυγατέρες καὶ θυγατέρες τῶν θυγατέρων

1 *οψομε* A | 1 *με* > c, ante *αποθανειν* ponunt m [t=b] x | 2 *ισραηλ*] *ιακωβ* F | 2 *αυτος* > cmtx | 2 *ηλθον* Ax | 2 *επι*] *εις* mt | 2 *το* > c | 3 *εθυσεν* AFt¹x¹ | 3 ante *θυσιαν* + *εκει* A | 4 *ειπεν* AFt¹x¹ | 4 *τω* > AFa, eius loco *προς* D [GR] x | 4 *της* > D [GR] Fx | 5 *εἰπὼν* > mtz, *ειπας* AFx, *λεγων* D [GR] c | 5 *ειπεν* AFt¹x¹ | 5 *εστι* mt²x²z | 5/6 *ο δε λεγει*] *λεγων* AFmtx, *ο δε ειπεν* D [GR], *ειπεν* c, *και ειπεν* z | 6 *αυτω* > AFmtxz. de D nihil traditur | 6 post *αυτω* + *ο θεος λεγων* c | 6 *ειμι* > F, *εμι* c | 7 *εις* alterum usque ad *αιγυπτον* 8 > t | 8 *καγω* x | 8 *καταβησωμαι* m | 8/9 *καγω* x | 9 *αναβιβασω σε*] *πορευθησομαι μετα σου εις αιγυπτον και εγω πορευθησομαι* z | 9 *αναβιβω* D [GR] F | 9 *και* > z | 10 *αυτου* > D [GR] Fmt, *σου* A | 11 *ορχου* A. Baberus in uolumine IV tacet | 11 post *ισραηλ* + *ιακωβ* cxz, *ιακωβ* loco illius *ισραηλ* mt | 12 *πατερα εαυτων* mt | 13 *απεστειλε* x² | 13 *ιωσηφ* > x | 13 post *αυτον* + *και τα κτηνη αυτων και κατεβησαν εις αιγυπτον* mt | 14 *ανελαβον* Fc | 14 syllabis *την κτη* desinit F | 14 *κτισιν* z | 14 post *κτησιν* + *αυτων* mtz | 15 *εκτισατο* z | 15 *εν γη χανααν* > mt | 15 *εκ γης* Az | 15 ante *εισηλθον* + *και* c | 15 *εισηλθεν εις αιγυπτον ιακωβ* mtx, *και εισηλθεν ιακωβ εις αιγυπτον* A | 16 *υιοι* prius] *οι υιοι αυτου* D [GR] t, *υιοι αυτου* x | 16 ante *υιοι* alterum + *οι* AD [GR] mt | 17 *μετ αυτου* > z | 17 *και* > t | 17 ante *θυγατερες* utrumque + *αι* a, ante alterum + *αι* mt | 17 priori loco *θυγατεραις* z | 17 post *θυγατερες* prius + *αυτου* D [GR] tx | 17 *θυγατερων*] *υιων* A

αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον.
8 ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσελθόντων εἰς
Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν. Ἰακὼβ καὶ οἱ υἱοὶ
αὐτοῦ· πρωτότοκος Ἰακὼβ Ῥουβήν. 9 υἱοὶ δὲ Ῥουβήν· Ἐνὼχ
καὶ Φαλλός, Ἀσρὼν καὶ Χαρμί. 10 υἱοὶ δὲ Συμεών· Ἰεμουὴλ
καὶ Ἰαμεὶν καὶ Ἀὼδ καὶ Ἰχεὶν καὶ Σαὰρ καὶ Σαοὺλ υἱὸς
τῆς Χανανίτιδος. 11 υἱοὶ δὲ Λευί· Γηρσών, Κ[α]ὰθ καὶ Με-
ραρί. 12 υἱοὶ δὲ Ἰούδα· Ἢρ καὶ Αὐνὰν καὶ Σηλὼμ καὶ
Φαρὲς καὶ Ζαρά· ἀπέθανε δὲ Ἢρ καὶ Αὐνὰν ἐν γῇ Χα-
ναάν· ἐγένοντο δὲ υἱοὶ Φαρὲς Ἐσρὼν καὶ Ἰεμουήλ. 13 υἱοὶ δὲ
Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ Ἀσοὺμ καὶ Σαμβράν. 14 υἱοὶ
δὲ Ζαβουλών· Σερὲδ καὶ Ἀλλὼν καὶ Ἀχοήλ. 15 οὗτοι υἱοὶ
Λείας, οὓς ἔτεκε τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας,
καὶ Δείναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαί, υἱοὶ καὶ
θυγατέρες, τριάκοντα τρεῖς. 16 υἱοὶ δὲ Γάδ· Σαφὼν καὶ
Ἀγγὶς καὶ Σαννὶς καὶ Θασοβὰν καὶ Ἀηδεὶς καὶ Ἀροηδεὶς

1 post αυτου prius + μετ αυτου Ax | 1 παν > x | 1 εισηγαγεν m | 2 εισπορευομενων z | 3 αμα ιακωβ τω πατρι αυτων > AD [GB] mtxy | 3/4 ιακωβ και οι υιοι αυτου > z, ουτοι δε εισιν υιοι αυτου a | 3 οι > y | 4 ante πρωτοτοκος + ο a | 4 πρωτοκος m | 4 ρουβιμ utroque loco amtz | 4 ante υιοι + οι t | 4 δε > z | 5 φαλλουδ A, φαλλους D [GB] amtxz, φαλλου c | 5 ασρωμ x | 5 χαρμη a | 6 ιαμιν cxz | 6 ιαωδ mtz, λωδ A [Baberus IV et Grabius tacent], αωρ x | 6 και tertium et quartum > z | 6 ιαχειν D [GB] amt, ιαχειμ A, αχιν cz | 6 ασααρ mt, ασαρ x | 6 σααλ D [GB] | 6 σαουλ] σαμουηλ A | 6 υιος] ο εκ z | 7 δε > z | 7 λευει D [GB] | 7 γηρσων] γεδεων z | 7 ante κααθ + και D [GB] c | 7 καθ ab, κααδ mt | 7/8 μεραρει A | 8 δε > z | 8 και ter > z | 8 ανναν a | 8 σηλων c | 9 απεθανεν At¹x¹, απεθανον a | 9 ανναν a | 10 ασρων AD [GB] amt¹, εσρωμ cx, ασρον t², ασρωμ z | 11 εσσαχαρ a, ισαχαρ cz | 11 φωλα x | 11 και primum et secundum > D [GB] | 11 και secundum > xz | 11 ιασουμ x, ιασουφ A, ιασουβ D [GB] amtz | 11 ζαμβραν D [GB] amt, ζαμβραμ Ax, σαμβραμ c, ταμβραμ z | 12 εσρεδ D [GB], σερεθ mt, σαδαρ x | 12 και prius > z | 12 αλλων] ασρων A, αδων z | 12 αχοηλ] αλοηλ A, εηλ D [GB], αιηλ amtz, ιαηλ x | 13 λιας z | 13 ετεκεν At¹x¹, εγεννησε a | 13 post εν + τη x | 14 διναν c, δυναν z | 14 ante πασαι + και mt | 14 αι > z | 15 praemittit αι A | 15 λγ z | 15 γαδ] γαλ a | 15 αφων z | 15 και > z | 16 αγγεις AD [GB] | 16 και σαννις usque ad finem uersus > t | 16 και quater > z | 16 σαυνις Acmz, σαννεις D [GB] x | 16 αηδις AD [GB], αηδης c, αιδης z | 16 και quartum > x | 16 αροηδις A, αναρις D [GB], αορηδεις a, αροηδης c, > x, αροιδης z

καὶ Ἀρεηλείς. 17 υἱοὶ δὲ Ἀσήρ· Ἰεμνά, Ἰεσσουὰ καὶ Ἰεοὺλ καὶ Βαριὰ καὶ Σάρα ἀδελφὴ αὐτῶν. υἱοὶ δὲ Βαριά· Χοβὸρ καὶ Μελχιίλ. 18 οὗτοι υἱοὶ Ζελφᾶς, ἣν ἔδωκε Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ Ἰακώβ, δεκαὲξ ψυχάς. 19 υἱοὶ δὲ Ῥαχὴλ γυναικὸς Ἰακώβ· Ἰωσὴφ καὶ Βενιαμίν. 20 ἐγένοντο δὲ υἱοὶ Ἰωσὴφ ἐν γῇ Αἰγύπτου, οὓς ἔτεκεν αὐτῷ Ἀσενὲθ θυγάτηρ Πετεφρῆ ἱερέως Ἡλιουπόλεως, τὸν Μανασσῆ καὶ τὸν Ἐφραΐμ. ἐγένοντο δὲ υἱοὶ Μανασσῆ, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχίρ· Μαχὶρ δὲ ἐγέννησε τὸν Γαλαάδ. υἱοὶ δὲ Ἐφραΐμ ἀδελφοῦ Μανασσῆ· Σουταλαὰμ καὶ Ταάμ, υἱοὶ δὲ Σουταλαάμ· Ἐδώμ. 21 υἱοὶ δὲ Βενιαμίν· Βαλὰ καὶ Βοχὸρ καὶ Ἀσβήλ. ἐγένοντο δὲ υἱοὶ Βαλὰ Γηρὰ καὶ Νοεμὰν καὶ Ἀγχὶς καὶ Ῥὼς καὶ Μαμφίμ· Γηρὰ δὲ ἐγέννησε τὸν Ἀράδ. 22 οὗτοι υἱοὶ Ῥαχήλ, οὓς ἔτεκε τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ δεκαοκτώ. 23 υἱοὶ δὲ Δάν·

1 αρσηλεις A, αριηλις D [GR], αροηλης c, αροηλις mt, αροηλεις x, αραηλης z | 1 υιοι δε] ουτοι δε υιοι x | 1 δε > mt | 1 ιεσσουα] και ιεσσαι A, και ιεσουα D [GR] mtx, ιεσουα a, και εσσουα c, ιεσουαρ z | 1 και alterum > z | 1 fin + και ιεουχ D [GR] | 2 και prius > z | 2 utroque loco βαρεια D [GR] mtx | 2 σαρρα D [GR] z, σααρ A | 2 ἀδελφοὶ a | 2 δε > z | 2 χοβωρ Ac, χοβολ D [GR] | 3 μελχιηλ Acmtxz, μελχειηλ D [GR], μελχιλ a | 3 εδωκεν At^1x^1 | 3 λαβαν λια A atque ita quidem, ut αν λια manus prima in rasura scripserit | 3 λια z | 4 ετεκεν At^1x^1 | 4 τω > z | 4 δεκα και εξ c, ις z | 4/5 ψυχαι D [GR] | 5/6 βενιαμειν Ax | 6 αιγυπτω AD [GR] mxz, αιγυπτωι t | 7 ασεννεθ AD [GR] x | 7 πετρεφη A, πεντεφρη a, πεντεφρι z | 7 ιλιουπολεως A | 8 utroque loco μαννασση A | 8 ante υιοι + οι t | 8 εφραιμ haud scio an in ἐφρὲμ mutaturus sim in editione mea | 8 ους] ην z | 9 αυτον z | 9 η prius > z | 9 παλακη mt | 9 utroque loco μαχειρ AD [GR] amtx, priori μαχηρ z | 9/10 εγεννησεν At^1x^1 | 10 γαλδαδ mt, γαλιδ z | 10 μαννασση A | 10/11 σουταλαμ mt | 11 σουταλαμ mt | 11 ταλαμ z | 11 εδεμ AD [GR] acxz | 11 δε > D [GR] | 12 βενιαμειν AD [GR] x | 12 βαλακ x | 12 και prius > c | 12 βοχωρ c, χοβορ amz, χοβωρ At, χοβωλ D [GR], βορωκ x | 12 ασφηλ a, ασβη c, ασβαηλ z | 12/13 εγενοντο δε υιοι βαλα > c | 13 βαλακ x | 13 και quater > z | 13 νοεμαν] μοσμαν D [GR] | 13 αγχεις A, αγχειν D [GR] mt, ειγχειμ a, αχιν z | 13 και tertium > c | 13 μαμφειν AD [GR] ay, μανφιν c, μαμφην mt, μαμφιν z | 13 fin + και οφιμιν Ac, + και οφμειν D [GR], + και οφειμειμ ay, + και φιμειμ mt, + και αφημιμ x, + και οφιμημ z | 14 εγεννησεν A [non t] x^1 | 14 αραμ xz | 14/15 ετεκε τω] εγεννησεν A. ετεκε m, qui τω habet, manu prima in rasura. ετεκεν τωι t^1, ετε-

Ἀσόμ. 24καὶ υἱοὶ Νεφθαλί· Ἀσιὴλ καὶ Γωνὶ καὶ Ἰσσάαρ καὶ Σολλήμ. 25οὗτοι υἱοὶ Βαλλᾶς, ἣν ἔδωκε Λάβαν Ῥαχὴλ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ ἑπτά. 26πᾶσαι δὲ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον, οἱ ἐξελθόντες ἐκ τῶν μηρῶν αὐτοῦ, χωρὶς τῶν γυναικῶν υἱῶν Ἰακώβ, πᾶσαι αἱ ψυχαὶ ἑξηκονταέξ. 27υἱοὶ δὲ Ἰωσὴφ οἱ γενόμενοι αὐτῷ ἐν γῇ Αἰγύπτῳ ψυχαὶ ἐννέα. πᾶσαι ψυχαὶ οἴκου Ἰακὼβ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον ψυχαὶ ἑβδομηκονταπέντε. 28τὸν δὲ Ἰούδαν ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ πρὸς Ἰωσὴφ συναντῆσαι αὐτῷ καθ' Ἡρώων πόλιν εἰς γῆν Ῥαμεσσῆ. 29ζεύξας δὲ Ἰωσὴφ τὰ ἅρματα αὐτοῦ ἀνέβη εἰς συνάντησιν Ἰσραὴλ τῷ πατρὶ αὐτοῦ καθ' Ἡρώων πόλιν· καὶ ὀφθεὶς αὐτῷ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔκλαυσε κλαυθμῷ πίονι. 30καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσὴφ Ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου· ἔτι γὰρ σὺ ζῇς. 31εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ Ἀναβὰς ἀπαγγελῶ τῷ

κεν τω x^1 | 15 *αι* > Axz | 15 *δεκα και εννεα* D [GB], *δεκατεσσαρες* x *ιη* z. ante *υιοι* + *και* x [sic] z | 15 *δε* > z | 15 *δαν*] *δαιδαν* A

1 *ασωμ* c | 1 *και υιοι*] *υιοι δε* mt, *υιοι* x | 1 *νεφθαλειμ* D [GB] mtx, *νεφθαλὶμ* acz | 1 *ασειηλ* D [GB], *ασηλ* a, *μασιηλ* x | 1 *γωυνι* Aacmtxz, *γωυνει* D [GB] | 1 *ισσαχαρ* a, *ιασσααρ* m, *ασσααρ* t | 2 *συλλημ* AD [GB] ax, *σελλημ* c, *συλλειμ* mt, *συλιμ* z | 2 *βαλας* z | 2 *εδωκεν* At^{1}x^1 | 3 ἥ] *ην* A^1, *και* x | 3 *ετεκεν* At^{1}x^1 | 3 *αι* > Ax | 4 *ζ* z | 4 post *δε* + *αι* D [GB] cmtz | 4 *εισηλθουσαι* z | 5 *εξλθοντες* A^1, prima manu correctum | 6 *των* > mt | 6 ante *υιων* + *των* cmtx | 6 *ιακωβ* etiam t, *ισραηλ* m | 6 *αι* > Aaxz | 6 *ξς* mz | 7 *γη* > c | 7 *αιγυπτου* a | 7/8 *ψυχαι εννεα* > a | 8 *θ* z | 8 ante *ψυχαι* + *αι* D [GB] cmt | 8 *οικου ιακωβ* > m [non t] | 8/9 *μετα ιακωβ* > Ac, post *εις αιγυπτον* 9 ponunt D [GB] mt | 9 *εις αιγυπτον* > x | 9 *ψυχαι* > Acmtxz | 9 *οε* mz | 10 *αυτων* A | 11 *εις γην ραμεσση* > D [GB] | 11 *ρακεσση* a, *ρεμεσση* m, *ραμεση* t, *ραμεσην* z | 12 *ισραηλ* > m | 13 *καθ ηρωων πολιν* > z | 13 *ωφθεις* z | 13/14 *επεσεν* cmt | 14 *εκλαυσεν* Act^{1}x^1 | 14 ante *κλαυθμω* + *εν* D [GB] | 14 *πιονι* b [sed non B], *πλιονι* A, *πλειονει* D [GB], *πλειονι* acmtxz. „ita [ut b] L U. in aliis *πιονι* mutatum est in *πλειονι* ut in Psalm 77 ex *απεκτεινεν εν τοις πιοσιν αυτων* simili mutatione factum est *απεκτεινεν εν τοις πλειοσιν αυτων*. at in LL UU ibi est *πιοσιν*, pro quo latina editio habet ‘ occidit pingues eorum“ b | 15 „Aquila *αποθανοιμι*“ b | 16 *ειπεν* At^{1}x^1

Φαραὼ καὶ ἐρῶ αὐτῷ Οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πα-
τρός μου, οἳ ἦσαν ἐν γῇ Χαναάν, ἥκασι πρὸς μέ. [32] οἱ δὲ
ἄνδρες εἰσὶ ποιμένες· ἄνδρες γὰρ κτηνοτρόφοι ἦσαν· καὶ τὰ
κτήνη καὶ τοὺς βόας καὶ πάντα τὰ αὐτῶν ἀγηόχασιν. [33] ἐὰν
οὖν καλέσῃ ὑμᾶς Φαραὼ καὶ εἴπῃ ὑμῖν Τί τὸ ἔργον ὑμῶν
ἐστί[ν]; [34] ἐρεῖτε Ἄνδρες κτηνοτρόφοι ἐσμὲν οἱ παῖδές σου ἐκ
παιδὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν· ἵνα
κατοικήσητε ἐν γῇ Γεσὲμ Ἀραβίας. βδέλυγμα γάρ ἐστιν
47 *Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων. [1] ἐλθὼν δὲ Ἰωσὴφ*
ἀπήγγειλε τῷ Φαραὼ λέγων Ὁ πατήρ μου καὶ οἱ ἀδελφοί
μου καὶ τὰ κτήνη καὶ οἱ βόες αὐτῶν καὶ πάντα τὰ αὐτῶν
ἦλθον ἐκ γῆς Χαναάν, καὶ ἰδού εἰσιν ἐν γῇ Γεσέμ. [2] ἀπὸ
δὲ τῶν ἀδελφῶν αὐτοῦ παρέλαβε πέντε ἄνδρας καὶ ἔστησεν
αὐτοὺς ἐναντίον Φαραώ. [3] καὶ εἶπε Φαραὼ τοῖς ἀδελφοῖς
Ἰωσὴφ Τί τὸ ἔργον ὑμῶν; οἱ δὲ εἶπαν τῷ Φαραὼ Ποιμένες
προβάτων οἱ παῖδές σου, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν.
[4] εἶπαν δὲ τῷ Φαραὼ Παροικεῖν ἐν τῇ γῇ ἥκαμεν· οὐ γὰρ
ἔστι νομὴ τοῖς κτήνεσι τῶν παίδων σου· ἐνίσχυσε γὰρ ὁ
λιμὸς ἐν γῇ Χαναάν. νῦν οὖν κατοικήσομεν ἐν γῇ Γεσέμ.
[5] εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ Κατοικείτωσαν ἐν γῇ Γεσέμ· εἰ

1 ante *οι* + *οτι* a | 1 *ο* articulus > A, in exemplo Baberi berolinensi calamo super uersum additus est | 2 *οἳ* > a | 2 post *χαναάν* + *νυν δε* a | 2 *ηκασιν* At[1]x[1] | 3 *εισιν* Ax[1], *εισι* c | 3 *ποιμαινες* Am | 3 *ησαν*] *εισι* cz | 4 *παντα* > x | 4 ante *αυτων* + *υπαρχοντα* cx | 4 *αγιοχασιν* D [GR]. *η* euanidum in A | 5 *ουν* > z | 5 *υμιν* > c | 5 *το* > c | 6 *εστιν* > AD [GR] amtx. *ἔστι* b | 6 *εσμεν* post *σου* ponit A | 8 *γεσεν* D [GR] | 8 *αραβια* AD [GR], *αρραβιας* t, *αρραβια* z | 8 *εστι* x[1]z, > c | 9 praemittit *τοις* Axz | 9 *ιωσηφ*] *φαραω* A | 10 *απηγγειλεν* Ax[1], *ανηγγειλεν* D [GR], *ανηγγειλε* a | 10 *τω* > Amt | 10 *φαραω*] *ιωσηφ* A | 11 *και παντα τα αυτων* > D [GR] | 11 *τα* alterum > x | 12 *ηλθον*] *ηκασιν* cz | 12 ante *γη* + *τη* a | 13 *παρελαβεν* At[1]x[1] | 13 *παρεστησεν* a | 14 *ειπεν* At[1]x[1] | 15 *ειπον* az | 15 *τω φαραω* > z | 15 *ποιμαινες* Am | 15 fin + *εσμεν* z | 16 post *σου* + *εκ παιδος εως του νυν* mt | 16 fin + *εκ παιδιοθεν εως του νυν* A, + *εκ παιδος εως του νυν* axz | 17 *ειπον* z | 17 *τω* > c | 17 *τη* > x | 17 post *γη* + *γεσεμ* x | 17 *ηκομεν* c | 17 *γαρ* Baberus uolum IV ‸*α*‸ scribit, id est *γ ρ* euanuisse refert; sed uolum I ‸*α* est, addito *ρ* (calamo ut uidetur) super uersum | 18 *εστιν* Ax[1] | 18 *κτηνεσιν* Ax[1] | 18 *ενισχυσεν* A [D? sed t=b] x[1] | 19 *κατοικησωμεν* Aamz | 19 ante *εν* alterum + *οι παιδες σου* AD [GR] acmtxz | 19 *γεσσεμ* a | 20 usque ad *γεσεμ* [incl]

δὲ ἐπίστῃ ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνατοί, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν. ἦλθον δὲ εἰς Αἴγυπτον πρὸς Ἰωσὴφ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ· καὶ ἤκουσε Φαραὼ βασιλεὺς Αἰγύπτου. καὶ εἶπε Φαραὼ πρὸς Ἰωσὴφ λέγων Ὁ πατήρ σου καὶ οἱ ἀδελφοί σου ἥκασι πρὸς σέ. 6 *ἰδοὺ ἡ γῆ Αἰγύπτου ἐναντίον σου ἐστίν, ἐν τῇ βελτίστῃ γῇ κατοίκισον τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου.* 7 *εἰσήγαγε δὲ Ἰωσὴφ Ἰακὼβ τὸν πατέρα αὐτοῦ καὶ ἔστησεν αὐτὸν ἐναντίον Φαραώ· καὶ ηὐλόγησεν Ἰακὼβ τὸν Φαραώ.* 8 *εἶπε δὲ Φαραὼ τῷ Ἰακὼβ Πόσα ἔτη ἡμερῶν τῆς ζωῆς σου;* 9 *καὶ εἶπεν Ἰακὼβ τῷ Φαραὼ Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα ἔτη· μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου, ἃς ἡμέρας παρῴκησαν.* 10 *καὶ εὐλογήσας Ἰακὼβ τὸν Φαραὼ ἐξῆλθεν ἀπ' αὐτοῦ.* 11 *καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς κατάσχεσιν ἐν γῇ Αἰγύπτῳ ἐν τῇ βελτίστῃ γῇ, ἐν γῇ Ῥαμεσσῇ, καθὰ προσέταξε Φαραώ.* 12 *καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖ-*

> z | 20 *ειπε δε*] *και ειπε* c | 20 *ειπεν* A [D?] t^{1}x^1 | 20 *τῳ*] *προς* c | 20 post *ιωσηφ* ea, quae inter *λεγων* 4 et *σου* alterum 7 media, + ac | 20 post *ιωσηφ* + *λεγων* mt | 20 *κατοικητωσαν* ct

1 *επιστασε* D [GB], *επισιασαι* a, *επιστησαι* mt | 1 *εν αυτοις* > z | 2 *εμων* > z | 2 post *κτηνων* + *ημων* z | 2 *ηλθον* usque ad *αιγυπτου* 4 > c | 2 *ηλθε* a | 3 *οι* > z | 3 *ηκουσεν* Ax^1 | 4 *και ειπε φαραω προς ιωσηφ* > ac | 4 *ειπεν* At^{1}x^1 | 4 post *φαραω* + *βασιλευς αιγυπτου* m [non t] | 4 *προς*] *τω* D [GB] mxz, *τωι* t | 4 quae inter *λεγων* 4 et *σου* alterum 7 media, hoc loco > ac | 5 *ηκασιν* A [D = b : GB] t^{1}x^1 | 5/7 comma sextum > x | 6 *γη* > z | 6 *κατοικησον* Acmtz | 7 *εισηγαγεν* At^{1}x^1 | 7 *δε* bis m | 8 *ιακωβ* > mt | 9 *ευλογησεν* AD [GB] cmtxz | 9 *ειπεν* At^{1}x^1 | 10 *ποσαι ημεραι ετων ζωης σου* x | 10 *της* > Am^1 [m prima manu super uersum habet] x | 11 *τῳ φαραω* > z | 11 „Aquila *ημεραι ετων της προσηλυτευσεως μου*" b | 12 *ρλ* mz, sed z *ετη* ante *ρλ* ponit | 13 *αφειχετο* A, *αφειχοντο* D [GB] | 13 *τας* > m | 14 „pro *ημερας* [utro?] est *ημεραι ας*" D [GB] | 14 *της ζωης*] *των ετων* D [GB] | 16 *κατωκησεν* Acmtz | 16 *αυτου* alterum > At | 17 *γη* > mt | 18 *αιγυπτου* c | 18 *γη* prius > x | 18 *εν γη ραμεσση* > D [GB] | 18 ante *γη* alterum + *τη* c | 18 *ραμεση* t | 18/19 *προσεταξεν* At^{1}x^1, *συνεταξε* c | 19 ante *φαραω* + *αυτω* D [GB] | 19 *εσιτομετρι* A | 19 *αυτου* > AD [GB] cmtxz [non a] | 20 post *αδελφοις* + *αυτου* AD [GB] acmtxz

τον κατὰ σῶμα. 13 σῖτος δὲ οὐκ ἦν ἐν πάσῃ τῇ γῇ· ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα· ἐξέλιπε δὲ ἡ γῆ Αἰγύπτου καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ. 14 συνήγαγε δὲ Ἰωσὴφ πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν γῇ Αἰγύπτου καὶ ἐν γῇ Χαναὰν τοῦ σίτου οὗ ἠγόραζον, καὶ ἐσιτομέτρει αὐτοῖς· καὶ εἰσήνεγκεν Ἰωσὴφ πᾶν τὸ ἀργύριον εἰς τὸν οἶκον Φαραώ. 15 καὶ ἐξέλιπε πᾶν τὸ ἀργύριον ἐκ γῆς Αἰγύπτου καὶ ἐκ γῆς Χαναάν. ἦλθον δὲ πάντες οἱ Αἰγύπτιοι πρὸς Ἰωσὴφ λέγοντες Δὸς ἡμῖν ἄρτους, καὶ ἵνα τί ἀποθνήσκομεν ἐναντίον σου; ἐκλέλοιπε γὰρ τὸ ἀργύριον ἡμῶν. 16 εἶπε δὲ αὐτοῖς Ἰωσὴφ Φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους ἀντὶ τῶν κτηνῶν ὑμῶν, εἰ ἐκλέλοιπε τὸ ἀργύριον ὑμῶν. 17 ἤγαγον δὲ τὰ κτήνη αὐτῶν πρὸς Ἰωσήφ, καὶ ἔδωκεν αὐτοῖς Ἰωσὴφ ἄρτους ἀντὶ τῶν ἵππων καὶ ἀντὶ τῶν προβάτων καὶ ἀντὶ τῶν βοῶν καὶ ἀντὶ τῶν ὄνων· καὶ ἐξέθρεψεν αὐτοὺς ἐν ἄρτοις ἀντὶ πάντων τῶν κτηνῶν αὐτῶν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. 18 ἐξῆλθε δὲ τὸ ἔτος ἐκεῖνο, καὶ ἦλθον πρὸς αὐτὸν ἐν τῷ ἔτει τῷ δευτέρῳ καὶ εἶπαν αὐτῷ Μήποτε ἐκτριβῶμεν ἀπὸ τοῦ κυρίου ἡμῶν; εἰ γὰρ ἐκλέλοιπε τὸ ἀργύριον ἡμῶν καὶ τὰ ὑπάρχοντα καὶ τὰ κτήνη πρὸς σὲ τὸν κύριον, καὶ οὐχ ὑπολέλειπται ἡμῖν ἐναντίον τοῦ κυρίου ἡμῶν, ἀλλ' ἢ τὸ ἴδιον σῶμα καὶ ἡ γῆ ἡμῶν. 19 ἵνα οὖν μὴ ἀποθάνωμεν ἐναντίον σου καὶ ἡ γῆ ἐρημωθῇ, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ ἄρτων, καὶ ἐσόμεθα

1 σωματα a | 1 ενισχυσεν Acx^1 | 2 εξελειπεν AD [GB] x^1, εξελιπεν t^{1}z, ἐξέλιπε e correctura seriori x^2 | 3 συνηγαγεν Ax^1, συνεισηγαγεν t^1, συνεισηγαγε t^{2}z | 4 αιγυπτω AD [GB] mxz, αιγυπτωι t | 4 post χανααν + απο c | 5 εισηγαγεν c | 6 εξελειπεν AD [GB], εξελιπεν t^{1}x^1 | 7 παν > Aax | 7 post αργυριον + ωστε αναλωθηναι mt | 9 εκλελοιπεν At^{1}x^1 | 10 ημων > D [GB] xz | 10 ειπεν At^1 [x^1?] 10 ιωσηφ > z | 12 uoce ει iterum incipit F | 12 εκλελοιπεν AFt^{1}x^1, εκλελιπε m | 12 ημων A, Baberus in uolumine IV tacet. υμων > D [GB] Facmtxz | 12 αυτων > AD [GB] Fmtxz | 14 αντι secundum > z | 15 ante εν + ιωσηφ x | 16 εξηλθεν AFt^{1}x [sic] | 17 ετος] εχες A [sic] | 17 ετει] ενιαυτω z | 18 και ειπαν αυτῳ > x | 18 ειπον z | 18 αὐτὸ m | 19 εκλελοιπεν AFt^{1}x^1 | 19 το αργυριον] τα παιδαρια F | 19 ημων > AD [GB] Facmtxz | 19 ante τα alterum + παντα z | 20 προς σε τον κυριον > F | 20 σε > x | 20 post κυριον + ημων cmt | 20 υπολειπεται Amt | 20 ημιν > A | 22 post σου + και γε ημεις αυτοι x | 22 post γη + ημων mt | 22 ερημωθησεται AD [GB] Famtx | 23 > z

ἡμεῖς καὶ ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραώ· δὸς σπέρμα, ἵνα
σπείρωμεν καὶ ζῶμεν καὶ μὴ ἀποθάνωμεν, καὶ ἡ γῆ οὐκ
ἐρημωθήσεται. 20 καὶ ἐκτήσατο Ἰωσὴφ πᾶσαν τὴν γῆν τῶν
Αἰγυπτίων τῷ Φαραώ· ἀπέδοντο γὰρ οἱ Αἰγύπτιοι τὴν γῆν
αὐτῶν τῷ Φαραώ, ἐπεκράτησε γὰρ αὐτῶν ὁ λιμός, καὶ ἐγέ-
νετο ἡ γῆ τῷ Φαραώ. 21 καὶ τὸν λαὸν κατεδουλώσατο αὐτῷ
εἰς παῖδας, ἀπ᾽ ἄκρων ὁρίων Αἰγύπτου ἕως τῶν ἄκρων,
22 χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον. οὐκ ἐκτήσατο ταύτην
Ἰωσήφ· ἐν δόσει γὰρ ἔδωκε δόμα τοῖς ἱερεῦσι Φαραώ, καὶ
ἤσθιον τὴν δόσιν, ἣν ἔδωκεν αὐτοῖς Φαραώ· διὰ τοῦτο οὐκ
ἀπέδοντο τὴν γῆν αὐτῶν. 23 εἶπε δὲ Ἰωσὴφ πᾶσι τοῖς Αἰγυ-
πτίοις Ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον τῷ
Φαραώ, λάβετε ἑαυτοῖς σπέρμα καὶ σπείρατε τὴν γῆν. 24 καὶ
ἔσται τὰ γενήματα αὐτῆς, καὶ δώσετε τὸ πέμπτον μέρος
τῷ Φαραώ· τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς
σπέρμα τῇ γῇ καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσι τοῖς ἐν τοῖς
οἴκοις ὑμῶν. 25 καὶ εἶπαν Σέσωκας ἡμᾶς, εὕρομεν χάριν
ἐναντίον τοῦ κυρίου ἡμῶν, καὶ ἐσόμεθα παῖδες τῷ Φαραώ.
26 καὶ ἔθετο αὐτοῖς Ἰωσὴφ εἰς πρόσταγμα ἕως τῆς ἡμέρας

1 usque ad *φαραω* > z | 1 ante *ημεις* + *και* cmt | 1 *τω* > AD [GB] Fxz | 1 post *δος* + *ημιν* mt | 1 *σπερματα* AD [GB] | 2 *σπειρωμεν και ζωμεν και* > mt | 2 *ζησωμεν* AD [GB] a, *ζησομεν* z | 2 *ουκ* > A^{1}, manu prima correctum | 3 ante *και* + quae 196, 23 197, 1 omiserat, z | 3 *των* > m | 4 *τω* > mtz | 4 *απεδοντο* usque ad *φαραω* 5 > mt | 5 *επεκρατησεν* AFcx^{1} | 5 *γαρ* > c | 5 *ο λιμος αυτων* A | 5 med *αυτων* > m | 6 *τω* > D [GB] | 6 *εαυτω* cx, *αυτων* A, > t | 7 *απο* mt | 7 *ὀρέων* z | 7 *αιγυπτιων* m | 7 ante *εως* + *και* c | 7 *των* > Fmt | 8 *μονων* amt, *μονης* z | 8/9 *ταυτην γαρ ουκ εκτησατο ιωσηφ* m. ita omisso *γαρ* tz | 8 *ταυτην* > AD [GB] Fax | 9 „Aquila *ακριβασμος γαρ τοις ιερευσιν*. Symmachus *συνταξις γαρ ην τοις ιερευσιν*. schol *και γαρ μερις ην τοις ιερευσιν εκ συγχωρησεως φαραω*" b | 9 *δωσει* m | 9 *εδωκεν* AFt^{1}x^{1} | 9 *δοματα* Acz, *δωμα* m | 9 *ιερευσιν* A [non F] x^{1} | 9 *και* > t | 10 *δεδωκεν* c | 11 *ειπεν* AFt^{1}x^{1} | 11 *πασι* > cmtz | 12 post *υμας* + *σημερον* x | 12 *σημερον* > x | 12 *τω* > mt | 13 *ἀυτοις* z | 13 *σπερματα* Acmt | 13 *την γην*] *αυτην* x | 14 ante *εσται* + *εαν* z | 14 *γενηματα* AFabxz, *γεννηματα* cmt | 14 *και* > AFmtx | 14 *δωσεται* A, *δοσετε* c | 14 *πεμπτος* A, *ε* sub *τ* m | 15 *τω* > A | 15 *τεσσερα* AF, *δ* sub *τ* [sic] m | 16 *σπερματα* Aat | 16 *τη γη* > x | 16 *πασιν* A | 16 *εν τοις* > F | 17 post *υμων* + *και εις βρωσιν τοις νηπιοις υμων* mtx | 17 *ειπον* z | 17 *ευραμεν* A | 18 *τω* > mt | 19 *αυτους* z | 19 *ιωσηφ* > a

ταύτης ἐπὶ γῆς Αἰγύπτου τῷ Φαραὼ ἀποπεμπτοῦν, χωρὶς
τῆς γῆς τῶν ἱερέων μόνον· οὐκ ἦν τῷ Φαραώ. [27]*κατῴκησε*
δὲ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ ἐπὶ γῆς Γεσέμ· καὶ ἐκληρονόμη-
σαν ἐπ' αὐτῆς, καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφόδρα.
[28]*ἐπέζησε δὲ Ἰακὼβ ἐν γῇ Αἰγύπτῳ δεκαεπτὰ ἔτη, καὶ ἐγέ-*
νοντο αἱ ἡμέραι Ἰακὼβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ ἑκατὸν
τεσσαρακονταεπτὰ ἔτη. [29]*ἤγγισαν δὲ αἱ ἡμέραι Ἰσραὴλ τοῦ*
ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἰωσὴφ καὶ εἶπεν
αὐτῷ Εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου
ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην καὶ
ἀλήθειαν τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ. [30]*ἀλλὰ κοιμηθή-*
σομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου
καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπεν Ἐγὼ ποιήσω
κατὰ τὸ ῥῆμά σου. [31]*εἶπε δὲ Ὄμοσόν μοι. καὶ ὤμοσεν*
αὐτῷ· καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου
48 *αὐτοῦ.* [1] *ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀπηγγέλη*

1 *γης*] *την γην* c | 1 *αποπεμπτουν τω φαραω* AFmt [*τωι* t], *αποπεμπουσι* [sic] *τω φαραω* z | 2 *μονων* Aaz | 2 ante *ουκ* + *ἦ* c | 2 *κατωκησεν* AFt¹x¹ | 3 *ισραηλ*] *ιακωβ* z | 3 *γη* > AFamt | 3 *αιγυπτου* c | 3 ante *γης* + *της* Fz | 3/4 *εκληρονομηθησαν* Aacmtxz. ad sua b „AA LL *εκληρονομηθησαν*. Aquila *κατεσχεθησαν και ηυξηθησαν*“. Aquilae uersio etiam in m | 4 *υπ αυτης* z | 4 *ευξηθησαν* A [Baberus IV tacet] [x¹? *η* in rasura], *ουξηθησαν* a, *ηυξηνθησαν* mz | 4 *και επληθυνθησαν* > z | 5 *επεζησεν* AFt¹x¹, *επεζυσε* a | 5 *γη* > x | 5 *αιγυπτου* ac | 5 *ετη ιζ* z | 5 *ιζ* m | 5/6 *και εγενοντο*] *εγενοντο δε* x | 6 ante *αι* + *πασαι* m | 6 *της* > F | 6/7 *ετη ρμζ* x | 6/7 *ρμζ* m | 7 *τεσσερακονταεπτα* AF | 7 *ηγγεισαν* A | 7 *ισραηλ* > z | 8 *εκαλεσεν* AFct¹x | 8 *ιωσηφ τον υιον αυτου* x | 10 *υπο*] *επι* a | 10 *των μηρων* z | 10 *επ*] *μετ* mt | 10 *ελαιημοσυνην* A | 11 *θαψαι με* Acm [t = b] z, *με θαψειν* x | 14 *ειπεν* AFt¹x¹ | 14 post *δε* + *αυτῳ* a, + *αυτω* cm, + *αυτωι* t | 14 *ωμοσον μοι* z | 15/16 „Aquila *προσεκυνησεν ισραηλ επι κεφαλην της κλινης*. Symmachus *επι το ακρον της κλινης*. Paulus sequutus Septuaginta ad Hebr cap 11 scripsit *επι το ακρον της ραβδου*“ b. *ακυλας προσεκυνησεν ισραηλ επι την κεφαλην της κλινης. συμμαχος Και προσεκυνησεν ισραηλ επι το ακρον της κλινης* m. ad catenae locum in ea pagina obuium, quae uoce *επι* 15 incipit, m *ση οτι εως ωδε ελλιπες ην το ανθιβολον* [sic] *εξ ετερου εγραφη* prima manu minio. et mox ad alium eiusdem catenae locum *εν ετερω των ʽλοιπων* [pro *των ι*] *γρ*, ut uideas librarium adcuratum fuisse | 15 ante *ισραηλ* + *αυτω* z | 15 *τῶ ακρον* z | 16 *ανηγγελη* AD [GB] Faxz, *απηγγελει* m

τῷ Ἰωσὴφ ὅτι ὁ πατήρ σου ἐνοχλεῖται· καὶ ἀναλαβὼν τοὺς δύο υἱοὺς αὐτοῦ, τὸν Μανασσῆ καὶ τὸν Ἐφραΐμ, ἦλθε πρὸς Ἰακώβ. 2 ἀπηγγέλη δὲ τῷ Ἰακὼβ λέγοντες Ἰδοὺ ὁ υἱός σου Ἰωσὴφ ἔρχεται πρὸς σέ· καὶ ἐνισχύσας Ἰσραὴλ ἐκάθισεν ἐπὶ τὴν κλίνην. 3 καὶ εἶπεν Ἰακὼβ τῷ Ἰωσὴφ Ὁ θεός μου ὤφθη μοι ἐν Λουζᾶ ἐν γῇ Χαναάν, καὶ εὐλόγησέ με 4 καὶ εἶπέ μοι Ἰδοὺ ἐγὼ αὐξανῶ σε καὶ πληθυνῶ σε καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν, καὶ δώσω σοι τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον. 5 νῦν οὖν οἱ δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν γῇ Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν πρὸς σὲ εἰς Αἴγυπτον ἐμοί εἰσιν, Ἐφραῒμ καὶ Μανασσῆ, ὡς Ῥουβὴν καὶ Συμεὼν ἔσονταί μοι. 6 τὰ δὲ ἔκγονα, ἃ ἐὰν γεννήσῃς μετὰ ταῦτα, ἔσονται ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν, κληθήσονται ἐπὶ τοῖς ἐκείνων κλήροις. 7 ἐγὼ δὲ ἡνίκα ἠρχόμην ἐκ Μεσοποταμίας τῆς Συρίας, ἀπέθανε Ῥαχὴλ ἡ μήτηρ σου ἐν γῇ Χαναάν, ἐγγίζοντός μου κατὰ τὸν ἱππόδρομον Χαβραθὰ τῆς γῆς τοῦ ἐλθεῖν Ἐφραθά· καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου, αὕτη ἐστὶ Βηθλεέμ. 8 ἰδὼν δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσὴφ εἶπε Τίνες σοι οὗτοι; 9 εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ Υἱοί μου εἰσίν, οὓς ἔδωκέ μοι ὁ

1 τῳ > mt | 1 σου] αυτου D [GB] | 1 ενοχλειτε z | 2 post αυτου + μετ αυτου A, + μεθ εαυτου D [GB] cx | 2 τον εφραιμ και τον μανασση m, sed prima manu α et β literis inpositis in nostrum ordinem redacta | 2 μαννασση A, μανασσην x e correctura seriori | 2 ηλθεν AFt¹x¹ | 3 απηγγελλη t | 4 ισραηλ] ιακωβ mt | 4 εκαθεισεν AF, εκαθησεν mt¹z | 5 κλινην] κοιτην mt | 5 μου > D [GB] ct | 6 uoce ωφθη desinit F | 6 εν λουζα post χανααν A, > z | 6 λουζᾶι mt | 6 ηυλογησεν A, ευλογησεν t¹x¹ | 7 ειπεν At¹x¹ | 8 συναγωγην a | 8 ταυτην > z | 9 εις τασχεσιν z | 10 σου υιοι m | 10 γεγεννημενοι σου z | 10 γη > D [GB] x | 10 αιγυπτου act | 12 μαννασση A, μανασσης amtz et e correctura seriori x [in quo super η radendo deletum ˢ scriptum] | 12 ρουβειμ a, ρουβιμ mtz | 12 post και + ως AD [GB] | 13 εγγονα c | 13 εαν] αν AD [GB] cxz | 13 γεννησεις tz, γενησης x¹ [ν super ν manune recentiori scr?] | 13 ante εσονται + σοι AD [GB] acmtxz | 14 αδελφω A | 14 επι] εν AD [GB] acmtxz | 14 κληρωσιν z | 15 ερχομην z | 15 εν μεσοποταμια x | 15 της > D [GB] | 15/16 απεθανεν At¹x | 16 ραχηρ a | 16 η μητηρ σου ραχηλ D [GB] x | 17 χαβρατα D [GB] | 17 post γης + προ c | 17 post ελθειν + εις mtxz | 17/18 κατωρηξα z | 18 ante εν + εκει c | 18 οδῳ] γη m [t = b] z | 18 εστιν At¹x¹ | 18 βιθλεεμ m¹? | 19 ειπεν At¹x¹ utroque loco | 19 σοι > cz, ησιν D [GB: sic] | 20 τῳ πατρι αυτου > z | 20 εδωκεν Ax¹, δεδωκε t

θεὸς ἐνταῦθα. καὶ εἶπεν Ἰακὼβ Προσάγαγέ μοι αὐτούς, ἵνα εὐλογήσω αὐτούς. [10] οἱ ὀφθαλμοὶ δὲ Ἰσραὴλ ἐβαρυώπησαν ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύνατο βλέπειν· καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν, καὶ ἐφίλησεν αὐτοὺς καὶ περιέλαβεν αὐτούς. [11] καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσὴφ Ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ θεὸς καὶ τὸ σπέρμα σου. [12] καὶ ἐξήγαγεν αὐτοὺς Ἰωσὴφ ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς. [13] λαβὼν δὲ Ἰωσὴφ τοὺς δύο υἱοὺς αὐτοῦ, τόν τε Ἐφραῒμ ἐν τῇ δεξιᾷ, ἐξ ἀριστερῶν δὲ Ἰσραήλ, τὸν δὲ Μανασσῆ ἐξ ἀριστερῶν, ἐκ δεξιῶν δὲ Ἰσραήλ, ἤγγισεν αὐτοὺς αὐτῷ. [14] ἐκτείνας δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν δεξιὰν ἐπέβαλεν ἐπὶ τὴν κεφαλὴν Ἐφραΐμ (οὗτος δὲ ἦν ὁ νεώτερος) καὶ τὴν ἀριστερὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ, ἐναλλὰξ τὰς χεῖρας. [15] καὶ εὐλόγησεν αὐτοὺς καὶ εἶπεν Ὁ θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης, [16] ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία ταῦτα· καὶ ἐπικληθήσεται ἐν αὐτοῖς τὸ ὄνομά μου καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ πληθυνθείησαν

1 *προσαγαγετε* z | 2 *δε οφθαλμοι* D [GR] cx | 2 *ισραηλ*] *αυτου* AD [GR] amt, *ιακωβ* z | 2 *εβαρυνθησαν* cz, *εβαρυοπησαν* t | 3 *γηρους* c | 3/7 a *και* priori 3 usque ad *γο* uocis *γονατων* 7 in rasura A „manu perantiqua“, quae in corio intacto usque ad *προσεκυνησαν* 8 scripsit | 3 *ουχ εδυναντο* A [corr] | 3 *ηδυναντο* D [GR] ax. ita m, si lineolam uoci *ηδυνατο* inpositam contra morem librarii, qui in mediis uocibus *ν* numquam hoc modo exprimit, *ν* uelis legere. *εδυναντο* z | 3 *εγγεισεν* A [corr], *ηγγεισεν* z | 3 ante *αυτους* + *δε* A [corr] | 5 *το προσωπον* tz | 6 *εδειξεν* A [corr] x[1] | 6 *και* alterum > m[1] | 7 *απο*] *εκ* a | 8 *την γην* D [GR] mtz | 9 *τε*] *μεν* c | 10 post *δεξια* + *αυτου* c | 10 *εξ* prius > t | 10/11 *τον τε μανασση τη αριστερα* D[GR] | 10 *μαννασση* A, *μανασσην* mt [x[2]??] z | 10/11 *εν τη αριστερα* Aa [qui *η ᾳ*] c [qui *ῃ*] mt [qui *τηι*] xz | 11 *δε*] *του* z | 11 ante *ηγγισεν* + *και* c | 11 *ηγγεισεν* Az | 12 *την δεξιαν χειρα* D [GR] x | 12 *επελαβεν* a, *επεθηκεν* c | 13 *ο* > a | 14 *μαννασση* A | 14 *εναλλαξας* D [GR] cxz | 14 post *χειρας* + *οτι μανασση* [? corrector recens super ■ [s] pinxit] *ο πρωτοτοκος* x, + *οτι μεν ει συ ο πρωτοτοκος* z | 14 *και* > a | 14/15 *ηυλογησεν* A | 16 *εναντιον* D [GR] x | 17 post *νεοτητος* + *μου* D [GR] acz | 17/18 „schol *ο αγχιστευς*“ b | 17/18 *ρυσαμενος* c | 18 post *κακων* + *μου* z | 19 *εν* > a, *επ* c | 20 *πλυνθυνθειησαν* m [uel *πληνθ*" ?]

εἰς πλῆϑος πολὺ ἐπὶ τῆς γῆς. [17]ἰδὼν δὲ Ἰωσὴφ ὅτι ἐπέ-
βαλεν ὁ πατὴρ αὐτοῦ τὴν χεῖρα τὴν δεξιὰν αὐτοῦ ἐπὶ τὴν
κεφαλὴν Ἐφραΐμ, βαρὺ αὐτῷ κατεφάνη· καὶ ἀντελάβετο Ἰω-
σὴφ τῆς χειρὸς τοῦ πατρὸς αὐτοῦ ἀφελεῖν αὐτὴν ἀπὸ τῆς
κεφαλῆς Ἐφραΐμ ἐπὶ τὴν κεφαλὴν Μανασσῆ. [18]εἶπε δὲ
Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ Οὐχ οὕτως, πάτερ· οὗτος γὰρ ὁ
πρωτότοκος· ἐπίϑες τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.
[19]καὶ οὐκ ἠϑέλησεν, ἀλλ' εἶπεν Οἶδα, τέκνον, οἶδα· καὶ οὗ-
τος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωϑήσεται· ἀλλ' ὁ ἀδελφὸς
αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ
ἔσται εἰς πλῆϑος ἐϑνῶν. [20]καὶ εὐλόγησεν αὐτοὺς ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ λέγων Ἐν ὑμῖν εὐλογηϑήσεται Ἰσραὴλ λέγοντες
Ποιήσαι σε ὁ ϑεὸς ὡς Ἐφραΐμ καὶ ὡς Μανασσῆ· καὶ ἔϑηκε
τὸν Ἐφραΐμ ἔμπροσϑεν τοῦ Μανασσῆ. [21]εἶπε δὲ Ἰσραὴλ
τῷ Ἰωσὴφ Ἰδοὺ ἐγὼ ἀποϑνήσκω, καὶ ἔσται ὁ ϑεὸς μεϑ'
ὑμῶν καὶ ἀποστρέψει ὑμᾶς εἰς τὴν γῆν τῶν πατέρων ὑμῶν.
[22]ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς
σου, ἣν ἔλαβον ἐκ χειρὸς Ἀμορραίων ἐν μαχαίρᾳ μου καὶ
τόξῳ. [1]ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς 49
Συνάχϑητε, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχά-

